...διαιρεθεὶς εἰς τόμους δύο, ὧν ὁ μὲν πρῶτος ἐμπεριέχει δογματικὰς προτάσεις καὶ ἀντιρρήσεις ὀρθοδόξου φρονήματος, ὁ δὲ δεύτερος βίους ἁγίων ἐν χειρογράφοις σωζομένους ἀνεκδότους συμβάλλοντας εἰς τὴν τοιαύτην πραγματείαν, ἀποδείξεις περὶ τοῦ ἁγίου φωτὸς, νηπτικὰ τῶν πατέρων καὶ διάφορα ἀποφθέγματα καὶ ὑποθέσεις εἰς ἀποτροπὴν ἀσεβείας ἁπάσης ͵αωμδ΄ 1844 *ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω.*"

86. 5. Χαρτ. φυλ. XVIII. (σ. 725).

Μαξίμου τοῦ Πελοποννησίου Ὁμιλίαι.

Ἐν τέλει· Ἔτη ἀπὸ Χριστοῦ ͵αψμγ΄ (=1743) *Νοέμβριος. Ἐγράφη τὸ παρὸν κατὰ τὴν σκήτην τῆς ἁγίας Ἄννης ἐν πολὺ ἐπιμελείᾳ καὶ διορθώσει διὰ χειρὸς εὐτελοῦς Κοσμᾶ ταπεινοῦ.*

87. 6. Χαρτ. φυλ. XVIII. (σ. 425).

1. Βίος καὶ ἀγῶνες καὶ πολιτεία Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ.
2. Ἀκολουθία Πέτρου τοῦ Ἀθωνίτου.
3. Ζητήματα καὶ λύσεις περὶ τῆς ἐνσάρκου οἰκονομίας.
4. Ἀκολουθία Νήφωνος τοῦ Ἀθωνίτου.
5. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς Λαζάρου τοῦ ἐν τῷ Γαλησίῳ ὄρει.
6. Ἀκολουθία Μαξίμου τοῦ Καυσοκαλύβη.
7. Βίος καὶ πολιτεία τοῦ ἁγίου Μαξίμου.
8. Βίος καὶ πολιτεία τῆς ὁσίας Συγκλητικῆς.

Ἐν τῷ τελευταίῳ παραφύλλῳ τῷ συνεσταχωμένῳ τῷ ξύλῳ ἔτη ἀπὸ Χριστοῦ αψνα (=1751).

88. 7. Χαρτ. φυλ. XVI.

Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας Ἑρμηνεία προτρεπτικὴ τῶν ψαλμῶν.

Ἀρχ. Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν ὡς ὅλως καὶ πάντες οἱ ποιοῦντες ὡς αὕτως· ἄλλως ἡ μὲν προφητεία πληροῦται εἰς τὸν Ἰωσὴφ ὅτι οὐ συνπαρεγένετο τοῖς Ἰουδαίοις ἡνίκα κατὰ τοῦ Χριστοῦ ἐβουλεύοντο. Ἄλλως καὶ τίνι τοῦ Χριστοῦ μᾶλλον ἁρμόσαι ταῦτα δυνήσεται· οὗτος γὰρ ἀληθῶς καὶ μόνος μακάριος. Τέλ. μένει κολοβὸν ἐν ταῖς λέξεσι διὰ τὸν φόβον σου κύριε ἐγγαστρὶ ἐλάβομεν οἱ λέγοντες

*ἐκ φιλοθεΐας γενέσθαι τῷ ἀγαπητῷ τοῦ πατρὸς δῆλον δὲ ὅτι τῷ υἱῷ καθάπερ ὠδίνουσα γεννητοῦ λόγου τροπῇ νουνεχῶς ἐμμένειν. Ὠδηνήσεται φησὶ καὶ μὲν καὶ εἰληφέναι κατὰ γαστρὸς καὶ τῆς σωτηρίας τὸ πνεῦμα τεκεῖν τοῖς ἐπὶ τῆς γῆς. Πρέποι δ' ἂν ὡς ἔφην ὁ τοιόσδε λόγος προφήταις τὲ καὶ ἀποστόλοις καὶ εὐαγγελισταῖς οἳ τῆς ἄνωθεν μυσταγωγίας καταπλουτοῦντες τὴν χάριν καὶ οἷον τινὰς νοητοὺς δεχομένους σπερματισμοῦς...*Ὁ κῶδιξ ἀντεγράφη, ὡς φαίνεται, ἐκ χειρογράφου παλαιοῦ· διὸ ἐν τῇ εἰσαγωγῇ εὕρηνται ἀντιγεγραμμένα μόνον ὅσα ἠδυνήθη ἀναγνῶναι ὁ βιβλιογράφος.

89. 8. Χαρτ. φυλ. XVII.

1. "*Ἀρχὴ σὺν θεῷ τῆς ὑποθέσεως τοῦ βιβλίου τῆς ἐχούσης μὲν τὴν ἀνάμνησιν τῆς ἰδίας ψυχῆς, ὑπὸ δὲ εὐχῶν πατέρων συνεγράφη Παύλου τε φημὶ σὺν Μάρκῳ Θωμᾷ καὶ Ἰωάννῃ ἅμα Ἰακώβῳ τε Λουκᾷ καὶ Μακαρίῳ τε πρὸς ὃν ἐστάλη αὕτη παρὰ μοναχοῦ τοῦ* **Δαμασκηνοῦ Πέτρου**, *συνεργίᾳ δὲ τριῶν ἀρχιερέων, ὧν αἱ εὐχαὶ συνέργησαν τῷ λόγῳ, τῇ δὲ συμβουλῇ ὠφέλησαν μεγάλως.*"

2. "**Τοῦ ἀββᾶ Ἡσαΐου** *Περὶ ἐντολῶν πιστῶν καὶ οἰκοδομῆς τῶν θελόντων μετ' εἰρήνης οἰκῆσαι μετ' ἀλλήλων.*"

3. "**Τοῦ ὁσίου Πέτρου μαθητοῦ τοῦ ἀββᾶ Ἡσαΐου** *Εἰς τὸ Πρόσεχε σεαυτῷ.*"

4. "**Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας** *Λόγος πρὸς τοὺς ἀποταξαμένους.*"

5. "**Στεφάνου τοῦ Σαβαΐτου** *Ἐντολαὶ τοῖς ἀποτασσομένοις.*"

6. "**Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Συμεὼν τοῦ νέου θεολόγου** *Περὶ ἀρχῆς βίου λίαν ἐπωφελοῦς καὶ σωτηρίου.*"

7. **Βασιλείου τοῦ μεγάλου** *Λόγος περὶ ἀσκήσεως καὶ πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν.*

8. "*Σχόλια εἰς τὸν περὶ ἀποταγῆς πρῶτον λόγον τοῦ ἁγίου* **Ἰωάννου τοῦ τῆς Κλίμακος.**"

Ἀρχ. Ἀποταγὴ πρώτη ἡ τῶν πραγμάτων, ἀπαλλαγὴ δευτέρα δὲ καὶ τρίτη ἡ τῶν παθῶν καὶ τῆς ἀγνοίας. Ἄλλο. Ῥᾳδίως τίς βουληθεὶς τῶν πραγμάτων ἀπαλλάττεσθαι οὐκ ὀλίγῳ δὲ καμάτῳ τῶν πρὸς αὐτὰ παθημάτων. Ἕπονται Σχόλια καὶ εἰς τοὺς λοιποὺς λόγους, τὸ ὅλον λ', περιέχοντα ἑρμηνείας καὶ ῥητὰ ἐκ διαφόρων πατέρων.

9. **Συμεὼν τοῦ νέου Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου** *ἀποσπάσματα.*

10. "**Τοῦ ὁσίου πατρὸς ἡμῶν Βαρσανουφίου** *Περὶ τοῦ πῶς δεῖ καθίσαι ἐν τῷ κελλίῳ καὶ περὶ θεωρίας κατ' ἐρώτησιν καὶ ἀπόκρισιν.*"

11. "*Ἐκ τῆς β' βίβλου τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν* **Ἐφραὶμ** *συλλογὴ λίαν ὠφέλιμος.*"

12. "**Συμεὼν τοῦ νέου Θεολόγου** *Στίχοι λίαν ὠφέλιμοι.*"
Ἀρχ. *Ἄφες κόσμον ἅπαντα καὶ τὰ ἐν κόσμῳ.*

13. **Θαλασσίου ἑκατοντάδες δ'.**

14. *Ἀποσπάσματα* **Βαρσανουφίου, ἀββᾶ Διαδόχου, Γρηγορίου Σιναΐτου.**

15. "*Λόγος περὶ τῶν μοναζόντων κατὰ μονάς.*"

16. "**Τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου** *Πρὸς τοὺς ὀκτὼ λογισμοὺς ὑποθῆκαι.*"

17. "*Λόγοι* **τοῦ ἀββᾶ Μωϋσέως τοῦ ἐν σκήτῃ** *πρὸς τὸν ἀββᾶν Ποιμένα.*"

18. "**Τοῦ αὐτοῦ ἀββᾶ Μωϋσέως** *Λόγοι περὶ καταστάσεως ἀρχαρίου μοναχοῦ.*"

19. *Ἀποσπάσματα διαφόρων* **πατέρων**, *ἰδίως κεφάλαια νηπτικὰ καὶ περὶ προσευχῆς καὶ ἀσκητικά.*

20. **Βασιλείου τοῦ μεγάλου** *Εἰς τὸ Πρόσεχε σεαυτῷ.*

21. **Τοῦ αὐτοῦ** *Ἐπίλογος εἰς τὰ ἠθικὰ παραινετικός.*

22. *Ἀποσπάσματα λόγων* **πατέρων** *καὶ κεφαλαίων νηπτικῶν καὶ ἀσκητικῶν.*

90. 9. Χαρτ. φυλ. XVI.

Μιχαὴλ γραμματικοῦ τοῦ Γλυκᾶ *Ἐπιστολαὶ θεολογικαὶ νδ'*

φέρουσαι ἰδίας ἐπιγραφὰς καὶ τὸν τίτλον τῆς ὑποθέσεως, ὧν ἡ μὲν πρώτη α' Τῷ τιμιωτάτῳ μοναχῷ καὶ στυλίτῃ κυρίῳ Ἰωάννῃ τῷ Σιναΐτῃ Εἰ χρὴ συγκαταβαίνειν τοῖς πταίουσι καὶ μὴ κατὰ λόγον αὐτοῖς ἐπιτιμᾶν τὸν προσήκοντα· ἡ δὲ τελευταία νδ' Τῷ τιμιωτάτῳ μοναχῷ κυρίῳ Ἰωαννικίῳ τῷ γραμματικῷ Περὶ τοῦ πῶς ὀνομάζει ὁ ἀπόστολος πνευματικὸν τὸ σῶμα ἐκεῖνο τὸ ἐκ νεκρῶν ἀναστησόμενον. Τῶν θεολογικῶν τούτων ἐπιστολῶν τοῦ Γλυκᾶ κθ' μόνον εὕρηνται ἐκδεδομέναι παρὰ Migne, CLVIII. σ. 648—957. Ἴδ. καὶ *Lambecii*, Comment. in Biblioth. Vindob. IV. σ. 344 καὶ *Coxe*, Catal. Codd. graec. bibl. Bodleianae, σ. 814.

91. 10. Χαρτ. φυλ. XVI. XVII.

1. "*Βίβλος τῶν ἁγίων γερόντων ἥτις λέγεται Παράδεισος*"

Ἐν ᾗ μετὰ τὸν Πρόλογον κεφ. α'. *Παραινέσεις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος.—β'. Ὅτι δεῖ τὴν ἡσυχίαν πάσῃ σπουδῇ μεταδιώκειν.—γ'. Περὶ κατανύξεως...—κγ'. Θαῦμα ἐξαίρετον καὶ διήγημα φόβον μέγαν ἐπ' ἔχον.—κδ'. Ἐκ τοῦ λόγου τοῦ εἰς τὴν ἀναίρεσιν τῶν ἁγίων πατέρων· τῶν ἐν Ῥαΐθῳ ἐξήγησις. κε'. Περὶ σημειοφόρων ἁγίων πατέρων.* Ἴδ. καὶ κώδ. ἀρ. 83 (2).

2. *Ἄλλαι τινὲς διηγήσεις ἐκ τοῦ* **Γεροντικοῦ.**

3. "**Ἀθανασίου Ἀλεξανδρείας** *Λόγος διὰ κεφαλαίων πρὸς τὰς ἐντολὰς τοῦ Θεοῦ πᾶσι τοῖς ἀποταξαμένοις καὶ θέλουσι σωθῆναι.*"

Ἐντεῦθεν δ' ἄρχεται τὸ δεύτερον μέρος τοῦ κώδικος (Χαρτ. XVII.).

4. "*Ἐκλογὴ κεφαλαίων ἀθροισθέντων ἐκ διαφόρων βιβλίων καὶ πολλήν τινα καὶ παντοδαπῆ καὶ μεγαλωφελῆ περιεχόντων καὶ τῶν μὲν διαλαμβανόντων περὶ θανάτου καὶ τῶν ἐκεῖθεν δικαιοτηρίων, τῶν δὲ περὶ εὐχῆς καὶ δεήσεως καὶ πάσης τῆς εἰς τὸ θεῖον λειτουργίας, ἔτι δὲ καὶ περὶ τῶν ἀχράντων καὶ φρικτῶν μυστηρίων· ἡ δὲ τούτων συλλογὴ γέγονεν ἐξ αἰτίας τοιαύτης.*"
Ἀρχ. *Ἰωάννης τις τῆς μεγάλης Ἀντιοχείας γεγονὼς*

πατριάρχης κατοικήσας δὲ καὶ ἐν τῇ νήσῳ τῇ λεγομένῃ Ὀξεῖα ἀκούων τῆς μὲν θείας γραφῆς διδασκούσης περὶ τοῦ φόβου τοῦ Θεοῦ κτλ. Ἐν τέλει Ἐγράφη διὰ χειρὸς Σεραφεὶμ μοναχοῦ ἐν ἔτει ‚ζρι′ Δεκέμβριος. Ἀναφέρονται δὲ ταῦτα εἰς τὴν ἐν ἔτει 1601 γραφὴν τοῦ δευτέρου μέρους τοῦ κώδικος.

92. 11. Χαρτ. φυλ. XIV. σελ. 2.

1. "Ἰσαὰκ τοῦ Σύρου τοῦ ἀσκητοῦ καὶ ἀναχωρητοῦ Λόγοι ἀσκητικοὶ ϟγ′."

Ἐν τέλει Χεὶρ ἁμαρτωλοῦ Ἰωάννου τοῦ Δούκα καὶ κακογράφου τοῦ Νεοκαισαρείτου ἐν ἔτει ‚ϛωξδ′ ἰνδ. θ′ ἡλίου κύκλος δ′ σελήνης κύκλος ε′ (=1356).

2. **Γερασίμου μοναχοῦ** Κανὼν τοῦ ἁγ. Γεωργίου. Ἀρχ. Ἀναστάσεως ἡμέρα βασιλέως Χριστοῦ.

3. "Ἐξήγησις εἰς τὴν θεόπνευστον βίβλον ταύτην τῆς Ἀποκαλύψεως." Ἀρχ. Ἀποκάλυψις ἐστὶν ἡ τῶν φρικτῶν μυστηρίων δήλωσις καταυγαζομένου τοῦ ἡγεμονικοῦ εἴτε διὰ θείων ὀνομάτων, εἴτε καθ' ὕπαρ ἐκ θείας ἐλλάμψεως.

Ἡ ἑρμηνεία ἕπεται ἑκάστοτε εἰς ἀποσπάσματα τοῦ κειμένου, γεγραμμένου βαφῇ κιρρᾷ.

4. "Στίχοι τοῦ **Ψελλοῦ** καὶ ἑρμηνεία εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων." Ἀρχ. τὸ Προοίμιον.

Ἐπείπερ τὸ φιλομαθὲς τὸ σὸν ὦ στεφηφόρε
ἑρμηνευθῆναι γλίχεται τὴν ξένην καὶ ποικίλην
τοῦ τῶν ᾀσμάτων ᾄσματος ἐξήγησιν καὶ γνῶσιν.

Τέλ. Ἀλλ' ἀπαρξώμεθα λοιπὸν σύν γε Θεῷ τῶν ὅλων.
Φησὶν ἡ νύμφη παρευθὺς πρὸς τοὺς ἀγγέλους τάδε
οὓς θυγατέρας τῆς Σιὼν ἐκάλεσεν ὁ λόγος.

Ἀρχ. ἡ Ἑρμηνεία. Κείμενον. Μέλαινα εἰμὶ καὶ καλὴ θυγατέρες Ἱερουσαλὴμ ὡς σκηνώματα Κηδὰρ, ὡς δέρι Σολομῶν. Ἑρμηνεία
Τοῦθ' ὁμιλεῖ τὸ πρώτιστον ἡ νύμφη τοῖς ἀγγέλοις κτλ.

Τέλ. ἑρμηνείας (κολοβ.)
αἱ γενεαὶ τῶν γενεῶν ἁπάν[των] τῶν ἀνθρώπων
ὅτι σωτῆρα [τέτοκε] τῆς ὅλης οἰκουμένης

Ἡ ἑρμηνεία αὕτη ἐκδέδοται παρὰ Migne, CXXII. 537—686, ἀλλ' ἀναμεμιγμένη ἄλλαις ἑρμηνείαις πεζαῖς. Σημειωτέον δ' ὅτι πολλοὶ τῶν στίχων τοῦ Ψελλοῦ κακῶς ἐδημοσιεύθησαν ὡς λόγος πεζός. (Migne, σ. 549, 550, 580, 617 κτλ.)

93. 12. Χαρτ. φυλ. XV.

1. "Λόγος διαλαμβάνων περὶ τῆς ὑποθέσεως τοῦ βιβλίου." Ἀρχ. Αὕτη ἡ βίβλος τὰς τοῦ κυρίου ἐντολὰς καὶ τὰς τούτων ἑρμηνείας περιέχει, ἐξακολουθούσας ταῖς τῶν ἁγίων πατέρων διδασκαλίαις· ἓν γὰρ κεφάλαιον ἐκ τοῦ ἑτέρου λαμβάνει τὴν ἀφορμὴν καὶ ὥσπερ χρυσόπλοκος σχοῖνος διὰ λίθων καὶ μαργαριτῶν τιμίων ἐξυφασμένος ὅλον μικροῦ δεῖν τὸν χαρακτῆρα τοῦ χριστιανισμοῦ περιέχει.

2. Πίναξ τῆς βίβλου, ἀναγράφων κεφάλαια ξα′, ὧν λδ′ "Ὅτι οὐ δεῖ κατηγορεῖν τινὸς ἕνεκεν τῆς ἀναγκαίας πρὸς τὸ ζῆν χρείας,"—λε′ "Περὶ πλούτου καὶ πενίας καὶ πῶς γνωρίσομεν εἰ ἐκ τοῦ θείου εἰσίν,"—ξ′ "Περὶ βρώσεως προσηκούσης τοῖς κατὰ κόσμον βιωτικοῖς," ξα′ "Περὶ χειροτονίας καὶ καθαιρέσεως κληρικῶν."

3. Τῆς βίβλου τῶν ἐν τῷ πίνακι ἀναγεγραμμένων κεφαλαίων τὰ α′—λγ′, τῶν λοιπῶν ἐκπεσόντων. Λόγ. β′ "Προοίμιον τῆς βίβλου τῶν ἑρμηνειῶν τῶν θείων ἐντολῶν τοῦ κυρίου, ἔχον ἐν ἐπιτομῇ τὴν ὅλην πραγματείαν τοῦ κυρίου" κτλ.—Λόγ. γ′ "Ἑρμηνεία τῶν θείων ἐντολῶν τοῦ κυρίου ἐν ἐπιτομῇ καὶ ὅτι ὁ διὰ τὴν ἀρετὴν πάσχων κακῶς παρὰ τῶν ἀνθρώπων οὗτος μακαριστὸς ἐστὶν" κτλ.—Λόγ. λβ′ "ὅτι οὐ δεῖ τὸν διδάσκαλον φιλοχρήματον εἶναι, ἀλλὰ δωρεὰν μεταδιδόναι" κτλ.—Λόγ. λγ′ "ὅτι οὐ συμφέρει τοῖς μοναχοῖς συνδιάγειν μετὰ τῶν κοσμικῶν" κτλ.

94. 13. Χαρτ. φυλ. XVII. σελ. 2. (φ. 309).

"Λόγοι διάφοροι περιέχοντες τὰς τῶν παθῶν πάντων κατηγορίας δι ενιστόρων παραδειγμάτων τῆς τε παλαιᾶς καὶ νέας διαθήκης τῶν ἀπὸ Ἀδὰμ καὶ καθεξῆς, συγγραφέντες παρὰ **Συμεὼν μοναχοῦ** ἀνδρὸς καὶ παναθλίου ἁμαρτωλοῦ πρὸς τὴν ἐμαυτοῦ ψυχὴν ἑκάστης κατηγορίας τὸν ταλανισμὸν ἀναφέροντος ἐν κεφαλαίοις τριάκοντα καὶ δυσί."

Ἐν τέλει Ἡ παροῦσα Κατάνυξις ἐγράφη ἐν ἔτει ‚ζροϛ′ (=1668) χειρὶ Ἀντωνίου εὐτελοῦς ἱερομονάχου...Ἴδ. καὶ κώδ. ἀρ. 96 (15).

95. 14. Χαρτ. φυλ. XVI. (φ. 289).

1 (φ. 1 α). **Θεοδώρου τοῦ Στουδίτου** Ἐγκώμιον εἰς τὸ γενέθλιον τῆς Θεοτόκου.

2 (φ. 11 α). **Ἀνδρέου Κρήτης** Λόγος ἐγκωμιαστικὸς εἰς τὴν γενέθλιον ἡμέραν τῆς ὑπεραγίας Θεοτόκου. Ἀρχ. Πάλιν ἑορτὴ καὶ πάλιν πανήγυρις.

3 (φ. 21 α). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Λόγος εἰς τὸ γενέσιον τῆς Θεοτόκου.

4 (φ. 30 β). **Ἀνδρέου Κρήτης** Λόγος εἰς τὴν γέννησιν τῆς Θεοτόκου. Ἀρχ. Εἰ μετρεῖται γῆ σπιθαμῇ.

5 (φ. 40 α). **Ἰακώβου ἀποστόλου τοῦ ἀδελφοθέου** Λόγος εἰς τὴν ὑπεραγίαν Θεοτόκον καὶ δέσποιναν ἡμῶν. Ἀρχ. Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ ἦν Ἰωακεὶμ πλούσιος σφόδρα.

6 (φ. 51 β). **Ἀνδρέου Κρήτης** Λόγος εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ. Ἀρχ. Σταυροῦ πανήγυριν ἄγομεν.

7 (φ. 59 β). **Τοῦ αὐτοῦ** Λόγος δεύτερος εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ. Ἀρχ. Κινήσωμεν ἀγαπητοὶ σήμερον ὡς κιννύραν τὰ χείλη.

8 (φ. 64 β). **Ἰωσὴφ Θεσσαλονίκης** Λόγος εἰς τὸν τίμιον Σταυρόν. Ἀρχ. Σταυροῦ πρόκειται σήμερον ἑορτή.

9 (φ. 69 α). **Παντολέοντος διακόνου** Λόγος εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ. Ἀρχ. Πάλιν ὑψοῦται Σταυρός.

10 (φ. 72 α). "Ἀναζήτησις καὶ εὕρεσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ ἐπὶ Κωνσταντίνου καὶ Ἑλένης τῶν ἁγίων καὶ πρώτων ἐν Χριστιανοῖς βασιλέων." Ἀρχ. Ἐν ἔτι ἑβδόμῳ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου βασιλέως.

11 (φ. 81 β). "Λόγος εἰς τὴν εὕρεσιν καὶ ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ ἐκτεθεὶς παρὰ **Ἀλεξάνδρου μοναχοῦ**." Ἀρχ. Τὴν κέλευσιν τῆς ὑμετέρας πατρικῆς ὁσιότητος δεξάμενος λίαν ἰλιγγίασα.

12 (φ. 115 α). **Θεοδώρου τοῦ Στουδίτου** Ἐγκώμιον εἰς τὸν Εὐαγγελιστὴν Ἰωάννην. Ἀρχ. Οὐρανοῦ προκειμένου εἰς ὑπόθεσιν ἐγκωμίου.

13 (φ. 125 α). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν Ἀνάληψιν τοῦ Χριστοῦ. Ἀρχ. Ἐπειδὴ χάριτι Θεοῦ τὸν λόγον τὸν περὶ τοῦ πάθους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πεποιήμεθα.

14 (φ. 129 α). **Τοῦ αὐτοῦ** Εἰς τὴν Ἀνάληψιν τοῦ Χριστοῦ ἐκ τῆς Ἑρμηνείας τῶν Πράξεων. Ἀρχ. Ὅταν τι μέλλωσιν ἐρωτᾶν οἱ μαθηταὶ ὁμοῦ προσέρχονται.

15 (φ. 138 α). **Τοῦ αὐτοῦ** Εἰς τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἐκ τῆς Ἑρμηνείας τῶν Πράξεων. Ἀρχ. Τίς ἐστιν αὕτη ἡ Πεντηκοστή;

16 (φ. 147 β). **Τοῦ αὐτοῦ** Λόγος εἰς τὴν ἁγίαν Πεντηκοστήν. Ἀρχ. Πᾶσα μὲν ἑορτὴ φαιδρὰν τὴν ἡλιακὴν ἀκτῖνα φέρουσα.

17 (φ. 155 α). **Τοῦ αὐτοῦ** Λόγος εἰς τὴν ἁγίαν Πεντηκοστήν. Ἀρχ. Εὐλογητὸς ὁ Θεός· μεγάλα ἀγαπητοὶ καὶ πάντα λογισμὸν ἀνθρώπινον ὑπερβαίνοντα.

18 (φ. 162 β). **Τοῦ αὐτοῦ** Λόγος εἰς τὴν ἁγίαν Πεντηκοστήν. Ἀρχ. Οὐρανὸς ἡμῶν γέγονε σήμερον ἡ γῆ.

19 (φ. 169 α). "**Λεοντίου πρεσβύτερου Κωνσταντινουπόλεως** Λόγος εἰς τὴν ἁγίαν Πεντηκοστήν." Ἀρχ. Ὅσοι περὶ τὴν παροῦσαν ἑορταστικὴν ἀένναον χάριν ἐπείγεσθε.

20 (φ. 178 β). **Ἀντιπάτρου Βόστρων** Λόγος εἰς τὸ γενέσιόν τοῦ Προδρόμου. Ἀρχ. Ἐν γεννητοῖς γυναικῶν οὐδὲν Ἰωάννου μείζονα ὁ σωτήριος ἀπεφήνατο λόγος.

21 (φ. 184 β). "**Ἀετίου πρεσβυτέρου Κωνσταντινουπόλεως** Ὁμιλία λεχθεῖσα εἰς τὸ γενέσιον τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ." Ἀρχ. Πολλοὶ μὲν ἤδη πολλάκις ἀγαπητοὶ ποικίλας ἡμῖν διδασκαλίας προτεθείκασι.

22 (φ. 191 α). **Γεωργίου Νικομηδείας** Εἰς τὴν ὑπεραγίαν Θεοτόκον καὶ δέσποιναν. Ἀρχ. Φαιδρὸν τὸ τῆς παρούσης ἑορτῆς σύνθημα.

23 (φ. 202 α). **Τοῦ αὐτοῦ** Λόγος εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου. Ἀρχ. Καλὰς ἡμῖν ὑποθέσεων ἀρχὰς ἡ παροῦσα πανήγυρις δείκνυσι.

24 (φ. 213 α). **Τοῦ αὐτοῦ** Λόγος εἰς τὴν Θεοτόκον, ὅτε προσηνέχθη ἐν τῷ ναῷ τριετίζουσα. Ἀρχ. Αἱ τῶν θείων πανηγύρεων ἐλάμψεις.

25 (φ. 222 β). **Ταρασίου Κωνσταντινουπόλεως** Λόγος εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου. Ἀρχ. Φαιδρὰ καὶ παράδοξος ἡ παροῦσα πανήγυρις.

26 (φ. 233 α). **Θεοφυλάκτου Βουλγαρίας** Λόγος εἰς τὴν ἑορτὴν τῆς ὑπεραγίας Θεοτόκου ὅτε προσηνέχθη ἐν τῷ ναῷ. Ἀρχ. Καὶ μνήμη μὲν δικαίου μετ᾽ ἐγκωμίων γινομένη.

27 (φ. 240 α). **Ἀνδρέου Κρήτης** Λόγος εἰς τὸν Εὐαγγελισμόν. Ἀρχ. Εὐαγγέλια ἀδελφοὶ εὐαγγέλια καὶ πάλιν ἐρῶ εὐαγγέλια.

28 (φ. 267 α). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Λόγος εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου. Ἀρχ. Μνήμη δικαίων μετ᾽ ἐγκωμίων γίνεται.

29 (φ. 278 β). **Ἀνδρέου Κρήτης** Λόγος εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου. Ἀρχ. Ὅσοι τὸ σεπτὸν τοῦτο τῆς Θεοτόκου κατειλήφαται τέμενος.

Ἐν τέλει· Θεοῦ τὸ δῶρον καὶ Λεοντίου πόνος ἐκ τῆς νήσου Κύπρου.

96. 15. Χαρτ. φυλ. XV.

Συμεὼν μοναχοῦ τοῦ νέου Θεολόγου Κατάνυξις ἐν λόγοις λβ΄.

Ἴδ. καὶ κώδ. ἀρ. 94 (13).

97. 16. Χαρτ. 8. μεγ. XVII.

"Αἱ περίοδοι τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ ἠγαπημένου Ἰωάννου τοῦ Θεολόγου συγγραφεῖσαι παρὰ **τοῦ ἁγίου Προχόρου** ἑνὸς τῶν ἑπτὰ διακόνων."

Ἐν τέλει· ͵αχπη΄ ἐν μηνὶ Ὀκτωβρίῳ κγη ἡμέρᾳ γη. Γραφεὺς πενιχρὸς μόλις ἦλθεν εἰς τέλος Ἀρσένιος τὸ ὄνομα τάχα καὶ ἱερεως.

98. 17. Χαρτ. 8. XVIII.

"**Τοῦ ἁγίου Βαρσανουφίου** τὸ βιβλίον ὑπάρχει τοῦτο· γερόντων δύο πνευματικῶν ἡσυχαζόντων ἐν κοινοβίῳ ἐν τῇ περιχώρῳ Γάζης καὶ λεγομένῳ τοῦ ἀββᾶ Σερίδου ἐπιστολαὶ καὶ ἀποκρίσεις διὰ τοῦ ἡγουμένου καὶ διακονοῦντος αὐτοῖς ὧν τὰ ὀνόματα Βαρσανούφιος καὶ Ἰωάννης."

99. 18. Χαρτ. 8. XVII.

1. **Ἀββᾶ Δωροθέου** λόγοι κδ΄.

Ἐν τέλει Ἐν ἔτει ͵αχκβ΄ μηνὶ Ἰανουαρίῳ ιϛ΄.

2. "Ἐκλογὴ κατ᾽ ἐπιτομὴν ἀπὸ τῶν ὁσίων **πατέρων** ἡμῶν περὶ νηπτικῆς ἐργασίας ἤτοι ἀκραιφνοῦς μετανοίας περιέχουσα πίνακα τόνδε."

Περιέχονται ιζ΄ κεφ. ἐξ ἔργων **Χρυσοστόμου, Βαρσανουφίου, Θαλασσίου, Νείλου, Νικηφόρου μοναχοῦ, ὁσίου Συμεὼν, Διαδόχου, Ἡλιοὺ ἐκδίκου** κεφ. σμγ΄, **Συμεὼν Εὐχαΐτων**,

'Αντωνίου τοῦ μεγάλου, Πέτρου Δαμασκηνοῦ *καὶ ἐκ τοῦ Γεροντικοῦ. 'Εν τέλει τοῦ πίνακος τούτου 'Εγράφη ἐν τῇ μονῇ τοῦ ἁγίου Διονυσίου τῇ λεγομένῃ Πέτρα ὑπὸ κάτω τοῦ μικροῦ "Αθωνος ἔτει ͵αχκα'* (=1621) *τῆς ἐνσάρκου οἰκονομίας μηνὶ Μαρτίῳ κη'.*

100. 19. Χαρτ. 8. XVII.

1. "'Εκλογὴ τῶν θεοπνεύστων γραφῶν πάνυ σύντομος καὶ ὠφέλιμος." "Αρχ. *'Η τῶν ἀληθινῶν Χριστιανῶν πίστις χωρὶς ἔργων ἀγαθῶν νεκρά ἐστιν.*

2. "Κεφάλαια τῶν ἁγίων **πατέρων κατ'** ἐκλογήν."

3. "'Αποφθέγματα τῶν ἁγίων **γερόντων.**"

4. "Βιβλίον καλούμενον Θησαυρός."

Βίβλος ἱερὰ ἐκ γραφῶν διαφόρων
τοῖς ἀναγινώσκουσι εὖ συγκειμένη
εἰς σωστικὴν σύνεσιν θεογνωσίας.

Χριστὲ τεὴν προΐαλλε χάριν καμάτοισιν ἐμοῖο εὐτελοῦς Θεογνώστου. "Αρχ. *Θεὸς καταλαμβανόμενος οὐκ ἔστι Θεός· εἷς δὲ Θεὸς ὅτι μία ἡ θεότης, ἄναρχος, ἀόρατος, ἀπερίληπτος, ἀνεξιχνίαστος, ἀτελεύτητος, ἀπερίγραπτος. Διαιρεῖται δὲ εἰς κεφ. ιγ', ὧν α' τὸ προοίμιον· τὸ β' ἄρχ. Μετὰ δὲ Μωϋσῆν τὸν θεόπτην διεδέξατο τὴν ἀρχὴν 'Ιησοῦς ὁ τοῦ Ναυί. κεφ. γ'. Μετὰ Σαμψὼν τὸν ἀνδρεῖον καὶ ἰσχυρὸν γέγονεν ἀναρχία ἔτη μ'. κεφ. δ'. Πρώτη βασιλεία 'Ιουδαίων. κεφ. ε'. Βασιλεία Δαυΐδ. κεφ. ϛ'. Βασιλεία Σολομῶντος. κεφ. ζ'. Μετὰ ταῦτα βασιλεὺς 'Οζίας. κεφ. η'. 'Απόδειξις ὅτι Θεὸς ἀληθής ἐστιν ὁ Χριστὸς καὶ υἱὸς καὶ λόγος τοῦ Θεοῦ συναΐδιος. κεφ. θ'. "Οτι μέγα ἀγαθὸν καὶ πρὸς σωτηρίαν ὁδηγία καὶ φωτισμὸς ἡ τῶν γραφῶν ἀνάγνωσις. κεφ. ι'. "Οτι οἱ τὸν Χριστὸν ἀρνησάμενοι καὶ τὸ θεῖον ἀθετήσαντες βάπτισμα χεῖρον καὶ τῶν ἀπίστων κολάζονται. κεφ. ια'. "Οτι μόνη ἡ τῶν Χριστιανῶν πίστις ὀρθή τε καὶ ἀπλανὴς καὶ περὶ τοῦ προσκυνεῖν κατὰ ἀνατολάς. κεφ. ιβ'. Περὶ τῶν τιμίων τῆς πίστεως συμβόλων. κεφ. ιγ'. "Οτι κυρίως καὶ ἀληθῶς Θεοτόκος ἡ ὑπεραγία Παρθένος Μαρία ἡ τὸν Χριστὸν ἀσπόρως καὶ ἀφράστως ἐν δυσὶ γεννήσασα φύσεσι τέλειον Θεὸν καὶ ἄνθρωπον τέλειον.*

5. "**'Αμφιλοχίου 'Ικονίου** Λόγος περὶ ἀρετῆς παραινετικὸς καὶ ὅτι δεῖ μνημονεύειν διηνεκῶς τὸν θάνατον καὶ εἰς τὴν ματαιότητα τοῦ κόσμου."

'Εν τέλει Θεοῦ τὸ δῶρον καὶ 'Ιερεμίου πόνος.

6. "Κεφάλαια κατὰ 'Αγαρηνῶν, ποίημα **Λαυρεντίου** τινὸς **ἱερομονάχου.**" "Αρχ. *Λέγουσιν οἱ 'Αγαρηνοὶ Πιστεύομεν εἰς ἕνα Θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν. Πᾶσα τοίνυν γραφὴ νέα τε καὶ παλαιὰ Θεὸν ἕνα κηρύττει μετὰ τοῦ λόγου.*

7. "Διήγησις **τοῦ ἀββᾶ Κασιανοῦ.**" "Αρχ. *"Οτε ἐν τῇ ἐρήμῳ τῆς σκήτεως ὅπου τῶν μοναχῶν οἱ δοκιμώτατοι παρεγενόμεθα.*

101. 20. Χαρτ. 8. XVIII.

1. Πίναξ τῶν περιεχομένων νθ' κεφαλαίων.

2. "Λόγος κατ' ἐπιτομὴν διαλαμβάνων περὶ τῆς πρώτης καὶ δευτέρας καὶ τρίτης εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προφήτου Προδρόμου."

3. Βίος καὶ πολιτεία Φιλαρέτου τοῦ ἐλεήμονος.

4. Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐπραξίας.

5. Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος.

6. Βίος καὶ πολιτεία 'Ιωάννου τοῦ Καλυβίτου.

7. Βίος καὶ πολιτεία 'Αλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.

8. Βίος καὶ πολιτεία Ξενοφῶντος τοῦ συγκλητικοῦ καὶ τῆς γυναικός του Μαρίας καὶ τῶν τέκνων 'Ιωάννου καὶ 'Αρκαδίου.

9. "Περὶ τῆς εἰς Θεὸν ἀγάπης **Μαξίμου** κεφάλαιον αον."

10. "Ἔτι περὶ τῆς εἰς Θεὸν ἀγάπης ὅροι."

11. "Διήγησις περὶ τοῦ ἀνθρώπου καὶ τοῦ ὄφεως."

12. "Κατήχησις περὶ τῆς μελλούσης κρίσεως συναθροισθεῖσα παρὰ **Διονυσίου ἱερομονάχου τοῦ ῥήτορος** εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων."

13. "Λόγος **τοῦ ἀββᾶ 'Ισαὰκ** πρὸς μοναχοὺς ἀρχαρίους μεταφρασθεὶς παρὰ **Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου** εἰς ὠφέλειαν τῶν εὑρισκομένων."

14. **Βασιλείου** "Λόγος ἀσκητικὸς πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχὸν, μεταφρασθεὶς παρὰ **Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου** εἰς τὸ κοινότερον διὰ ὠφέλειαν τῶν εὑρισκομένων."

15. **Βασιλείου** "Λόγος περὶ πῶς ὀφείλει διάγειν ἐν κοινωβίῳ καὶ ὅπως λέγονται κοινοβιάται."

16. "'Ιστορίαι **Διονυσίου ἱερομονάχου τοῦ ῥήτορος** ἀσκήσαντος ἐν τῇ σκήτῃ τῆς ἁγίας "Αννης."

17. "**Διονυσίου ἱερομονάχου τοῦ ῥήτορος** Διδαχὴ ἁπλουστάτη καὶ σύντομος πρὸς τοὺς εὐσεβεῖς Χριστιανούς."

18. "Διήγησις περὶ τοῦ ἁμαρτωλοῦ ὁποῦ ἔδραμεν ὁλοψύχως εἰς τὴν ἐξομολόγησιν πῶς ἐσυγχωρήθη παρὰ Θεοῦ."

19. "Διήγησις περί τινος γέροντος σημειοφόρου μοναχοῦ, ὅπως ἀπεκαλύφθη αὐτῷ τὰ περὶ τοῦ βασιλέως Θεοδοσίου."

20. Μαρτύριον τῆς ἁγ. 'Αναστασίας τῆς 'Ρωμαίας.

21. Βίος καὶ πολιτεία τοῦ ἁγ. 'Ονουφρίου καὶ Παφνουτίου.

22. "Παραίνεσις πρὸς τοὺς θέλοντας σωθῆναι μοναχοὺς τοῦ ἐν ἐπισκόποις λογιωτάτου κυροῦ **Δαμασκηνοῦ** Λιτῆς καὶ 'Ρενδίνης καὶ προέδρου Πολιανῆς."

23. "'Απὸ τὸν βίον τοῦ ἁγίου Παϊσίου."

24. "Βίος καὶ πολιτεία Μαρίας τῆς μετονομασθείσης Μαρῖνος."

25. "'Ερώτησις **τοῦ Πέτρου μοναχοῦ** πρὸς τὸν μακαριώτατον πάπαν 'Ρώμης Γρηγόριον τὸν Διάλογον, τί δύνανται αἱ λειτουργίαι νὰ ὠφελήσουν τὰς ψυχὰς τῶν ἁμαρτωλῶν μετὰ τὸν θάνατον αὐτῶν. **Τοῦ ἁγιωτάτου Γρηγορίου** ἀπόκρισις."

26. "Περὶ τῶν διδομένων λειτουργιῶν διὰ σαραντάρια **τοῦ ὁσίου** Ἠσαΐου **μοναχοῦ** πρεσβυτέρου καὶ ἐγκλείστου."

27. "Περὶ τῶν σαρανταρίων ὁποῦ κάμνουν διὰ τοὺς ἀποθαμένους, ὅτι τελείως λειτρώνουν τὴν ψυχὴν ἀπὸ τὴν κόλασιν. Ἐκ τοῦ **Πατερικοῦ**..."

28. "Διὰ ποίαν αἰτίαν μετὰ τὸν θάνατον τοῦ ἀνθρώπου ποιοῦσιν αὐτῷ μνημόσυνα εἰς τὰς τρεῖς ἡμέρας καὶ εἰς τὰς ἐννέα καὶ εἰς τὰς μ'. Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς **Ἀλεξάνδρου.**"

29. "Διὰ ποίαν αἰτίαν μετὰ τὸ ἀποθανεῖν τὸν ἄνθρωπον ποιοῦσιν αὐτῷ λειτουργίας εἰς τὰς τρεῖς ἡμέρας εἰς τὰς ἐννέα καὶ εἰς τὰς σαράντα. **Νικηφόρου τοῦ Ξανθοπούλου.**"

30. "Περὶ τί εἰσὶν αἱ μερίδαι καὶ ἐὰν εἶναι πρέπον νὰ προσφέρονται διὰ γυναῖκες ὁποῦ ἔχουσιν ἄνδρας αἱρετικοὺς ἢ ἀσεβεῖς. **Συμεὼν Θεσσαλονίκης.**"

31. "**Γρηγορίου τοῦ Διαλόγου** περὶ τῆς Τετράδης καὶ τῆς Παρασκευῆς."

32. "Διήγησις πάνυ ὠφέλιμος **τοῦ ἀββᾶ** Μακαρίου **τοῦ Αἰγυπτίου.**"

33. "Περὶ ἱερέων ἀναξίων, διήγημα φοβερὸν καὶ παράδοξον, ὅτι ἡ θεία δίκη οὐκ ἀργῶς ἐκδικεῖ τοὺς τολμητὰς καὶ αὐθάδεις."

34. "Ἕτερον διήγημα φοβερὸν ὁποῦ ἐγένετο ἐν τῷ καιρῷ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου" καὶ διάφοροι ἄλλαι διηγήσεις ἐκ τοῦ **Γεροντικοῦ** καὶ **Πατερικοῦ.**

35. "Ἀνάμνησις μερικὴ περὶ τοῦ Ἄθω ὄρους, τὰ λεγόμενα πάτρια."

36. "Διήγησις γενομένη ἐν τῷ ἁγιωνύμῳ ὄρει πλησίον τῶν Καρεῶν."

37. "Καὶ ἄλλο θαῦμα ἀκούσατε ὁποῦ ἔγινεν εἰς τὴν σκήτην αὐτήν."

38. "Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θεοφόρου Κοσμᾶ τοῦ ἐκ τῆς μονῆς Ζωγράφου."

39. "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Συμεὼν μητροπολίτου Εὐχαΐτων** Ἐπιστολὴ πρὸς Ἰωάννην μοναχὸν καὶ ἔγκλειστον."

40. "**Πέτρου Δαμασκηνοῦ** παραίνεσις ἀσκητική."

41. "Ἐκ τοῦ **Γεροντικοῦ** ἐρωτήματα."

42. "Ἐκ τοῦ βίου τοῦ ἁγίου Παχωμίου" καί τινες ἄλλαι βραχεῖαι διηγήσεις ἐκ τοῦ **Γεροντικοῦ.**

Ἐν τέλει Τὸ παρὸν βιβλίον ἐγράφη διὰ χειρὸς τοῦ ἐν πνευματικοῖς Ματθαίου ἐν ἔτει ,ζρν' ἐν μηνὶ Ἀπριλίῳ. *Σχεδὸν πάντα τὰ ἐν τῷ κώδικι τούτῳ, γραφέντι τῷ 1642, περιεχόμενά εἰσι γεγραμμένα ἐν τῇ καθωμιλημένῃ· τὰ δὲ πλεῖστά εἰσιν ἔργα ἢ μεταφράσεις τοῦ ἐν τῇ σκήτῃ τῆς ἁγίας Ἄννης μονάσαντος Διονυσίου, ἄλλου παρὰ τὸν ὁμώνυμον Καλλιπολίτην, ὅστις ἐν ἔτει 1779 ἠθέλησε διὰ μελέτης τῶν ἀθωνικῶν κωδίκων ἐπανορθῶσαι τὰ κακῶς ἔχοντα ἔντυπα ἐκκλησιαστικὰ βιβλία, περὶ οὗ ἴδ. Σάθα Νεοελληνικῆς Φιλολογίας σ. 610.*

102. 21. Χαρτ. 8. XVII.

1. "Βίος καὶ πολιτεία τοῦ μακαριωτάτου καὶ θεολογικωτάτου Ἰωάννου ἡγουμένου τοῦ ἁγίου ὄρους Σινᾶ τοῦ λεγομένου Σχολαστικοῦ, τοῦ καὶ συγγραψαμένου τὴν ἱερὰν ταύτην καὶ ἁγίαν Κλίμακα, μεταφρασθεὶς ἐν ἰδιωτικῇ καὶ πεζῇ φράσει."

2. **Ἰωάννου τοῦ Σχολαστικοῦ** Κλίμαξ μετὰ τοῦ πρὸς τὸν Ποιμένα λόγου.

Πρὸς τῷ τέλει· Ἑρμηνεὺς πενιχρὸς μόλις ἦλθεν ἐνταῦθα, Σωφρόνιος τοὔνομα, ὁρμώμενος ἐκ Πάτρης.

103. 22. Χαρτ. 8. XVI.

1. "Συναγωγὴ τῶν θεοφθόγγων ῥημάτων καὶ διδασκαλιῶν τῶν θεοφόρων πατέρων ἀπὸ πάσης γραφῆς θεοπνεύστου συναθροισθεῖσα καὶ οἰκείως καὶ προσφόρως ἐκτεθεῖσα εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων παρὰ **Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου** τοῦ ἐν τῇ σκήτῃ τῆς Λαύρας ἀσκοῦντος." *Περιέχονται παντοῖα πατέρων μέρη,* **Ἰσαὰκ τοῦ Σύρου, Βασιλείου τοῦ Μεγάλου, Εὐαγρίου** ὑποτύπωσις μοναχική, **Νικηφόρου μοναχοῦ, Συμεὼν Εὐχαΐτων, ἀββᾶ Ἰσαάκ, Μακαρίου τοῦ Αἰγυπτίου, Γρηγορίου Νύσσης, Ἐφραὶμ τοῦ Σύρου, Στεφάνου Νικομηδείας, Χρυσοστόμου, Ἀθανασίου τοῦ μεγάλου, Ἀναστασίου Σιναΐτου,** κεφάλαια ἀσκητικὰ καὶ διηγήσεις ἐκ τοῦ **Γεροντικοῦ** κτλ.

2. "Τοῦ πανσόφου κῦρ **Μιχαὴλ τοῦ Ψελλοῦ** Διδασκαλία πανταδαπὴς καὶ πάντη ἀναγκαιοτάτη ἔκθεσις τῆς ἡμῶν πίστεως."

Ἀρχ. Πιστεύω εἰς ἕνα Θεὸν τὴν πάντων ἀρχὴν καὶ αἰτίαν οὐκ ἔκ τινος γεννηθέντα ἀναίτιόν τε καὶ ἀγέννητον μόνον ὑπάρχοντα.

3. "Τοῦ πανσόφου κυροῦ **Μιχαὴλ τοῦ Ψελλοῦ** Ἐπιλύσεις ἕτεραι σύντομοι φυσικῶν ζητημάτων."

Ἀρχ. Ὁ μὲν Πλούταρχος ὦ μέγιστε καὶ θειοώτατε βασιλεῦ διαφόρους δόξας ἀπαριθμούμενος καὶ τὴν ἀληθῆ μὲν ἀποδεικνύων καὶ πιστούμενος συγχέει μᾶλλον τὸν λογισμόν.

4. "**Νείλου μοναχοῦ** Περὶ τῶν ὀκτὼ λογισμῶν."

Ἐν τέλει Ἐγράφη τὸ παρὸν βιβλίον παρ' ἐμοῦ Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου ἐπὶ ἔτους ζϥ' ἰνδ. ιης (=1582).

5. "Ἐπιστολαὶ **τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου**" ἐν ἐκλογῇ μικρᾷ.

104. 23. Χαρτ. 8. XVI.

"Συναγωγὴ τῶν θεοφθόγγων ῥημάτων καὶ διδασκαλιῶν τῶν θεοφόρων πατέρων ἀπὸ πάσης γραφῆς θεοπνεύστου συναθροισθεῖσα καὶ οἰκείως καὶ προσφόρως ἐκτεθεῖσα εἰς ὠφέλειαν τῶν ἐντυχανόντων παρὰ **Διονυσίου ἱερομονάχου τοῦ Στουδίτου** τοῦ ἐν τῇ σκήτῃ τῆς ἁγίας Ἄννης ἀσκήσαντος."

Ὅμοιον τῷ προηγουμένῳ κώδικι, οὗτινός ἐστιν ἐπιτετμημένον ἀντίγραφον.

105. 24. Χαρτ. 8. XVII.

"Ἀποφθέγματα καὶ ἱστορίαι τῶν ἁγίων καὶ ἑρμηνευθέντα εἰς πεζὴν φράσιν παρὰ **Γεωργίου ῥήτορος Αἴνου.**"

106. 25. Χαρτ. 8. XVII.

1. "Ἀρχὴ σὺν Θεῷ τῆς ὑποθέσεως τοῦ βιβλίου, τῆς

ἐχούσης μὲν τὴν ἀνάμνησιν τῆς ἰδίας ψυχῆς ὑπὸ δὲ εὐχῶν πατέρων συνεγράφη παρὰ μοναχοῦ **τοῦ Δαμασκηνοῦ Πέτρου.**"

Ἐν τέλει Ἐγράφη τῇ χειρὶ Ἰωάσαφ μοναχοῦ ͵ζρμη' μηνὶ Αὐγούστῳ ιβ' (=1640).

2. "**Πέτρου Δαμασκηνοῦ** μοναχοῦ Εἰς τὸ Πρόσεχε σεαυτῷ."

107. 26. Χαρτ. 8. XVII.

1. "**Γεωργίου μητροπολίτου Νικομηδίας** Λόγος εἰς τὴν σύλληψιν τῆς παναγίας Θεοτόκου."

Ἐν τῇ ἄνω ᾤᾳ ἑλληνικῇ φράσει.

2. Τοῦ **αὐτοῦ** Ὁ αὐτὸς λόγος

ἐν τῇ καθωμιλημένῃ, ὡς δηλοῦται καὶ διὰ τῶν ἐν τῇ ᾤᾳ γεγραμμένων λέξεων ἁπλῇ φράσει.

108. 27. Χαρτ. 8. XVII.

1. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου τοῦ νέου, συγγραφεὶς παρὰ **Γρηγορίου ταπεινοῦ** καὶ φιλοχρίστου μαθητοῦ."

Ἐν τῇ καθωμιλημένῃ. Ἐν τέλει...Ἐτελειώθη δὲ ἐν ἔτει ͵ζροα' Νοεμβρίου ιη' (=1662). *Θεοῦ τὸ δῶρον καὶ Γερασίμου πόνος.*

2. Βίος καὶ πολιτεία Ἰακώβου τοῦ νέου.

Ἐν τέλει· ͵ζροα'. Μαρτίου ια' (=1663).

3. **Τοῦ ἀββᾶ Μακαρίου τοῦ Αἰγυπτίου** Λόγος. Ἀρχ. *Πορευόμενός ποτε ὁ ἀββᾶς Μακάριος εἰς τὴν ἔρημον.*

4. "Ἀποφθέγματα καὶ ἱστορίαι τῶν ἁγίων, μαζομένα ἐκ τοῦ **Πατερικοῦ** καὶ ἐκ τῶν βίων τῶν ἁγίων καὶ ἑρμηνευθέντα εἰς πεζὴν φράσιν παρὰ **Γεωργίου ῥήτορος Αἴνου.**"

Ἐν τῇ καθωμιλημένῃ. Ἀτελές. Ἴδ. καὶ ἀνωτέρω ἀρ. 105 (24).

5. **Θεοδώρου τοῦ Στουδίτου** Κατηχήσεις εἰς τοὺς ἑαυτοῦ μαθητάς.

Ἐν τῇ καθωμιλημένῃ. Ἀτελεῖς.

109. 28. Χαρτ. 8. XVII.

"Ἀρχὴ τοῦ βιβλίου τὸ Εὐεργετηνὸν τὸ δεύτερον"

εἰς ν' ὑποθέσεις, μετὰ πίνακος των περιεχομένων προτασσομένου. Ἡ α' ὑποθέσις "Ὅτι οἱ εὐτελίζοντες ἑαυτοὺς ἔντιμοι εἰσὶ παρὰ τῷ Θεῷ." Ἡ δὲ ν' ὑπόθεσις (κολοβή) "Πῶς δεῖ τοὺς συνόντας ἀδελφοὺς διωρθοῦσθαι ἀλλήλους ἔν τισι σφαλομένους καὶ πότε μὲν καὶ ἐν ποίοις σφάλμασι σιωπᾶν χρή, πότε δὲ καὶ ἐν ποίοις λαλεῖν καὶ μὴ ἀποκρύπτειν."

Ἐν ἀρχῇ καὶ τέλει ἀνὰ ἓν φύλλον (Περγ. 4. X), *ἐν ᾧ περιέχεται ἀπόσπασμα λόγου εἰς τοὺς Ἀρχαγγέλους.*

110. 29. Χαρτ. 16. XVII.

1. **Πατερικὸν καὶ Γεροντικόν.**

2. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν μάταιον βίον.

111. 30. Χαρτ. 8. XVII.

1. Ὕμνοι τριαδικοὶ καὶ πένθη **Θηκαρᾶ.**

Ἐν τέλει Τὸ παρὸν βιβλίον ἐγράφη χειρὶ Κυρίλλου μοναχοῦ, ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω ἐν ἔτει ͵ζρι' μηνὶ Ἰουλλίῳ (=1602).

2. "**Θεοδούλου μοναχοῦ** Διήγησις περὶ τῶν ὕμνων."

3. "**Διονυσίου μοναχοῦ** Γνωστικὰ κεφάλαια ν' περὶ διαφορᾶς τῶν θείων ὕμνων."

4. "Τοῦ **αὐτοῦ** Ἑρμηνεία πῶς δεῖ καὶ ὅθεν δεῖ μεταγράφειν τοὺς ὕμνους."

5. "Ὡρολόγιον σὺν Θεῷ τῶν θείων ὕμνων καὶ εὐχαὶ μετὰ τροπαρίων, εἰσὶ δὲ πόνημα **Θηκαρᾶ μοναχοῦ.**"

6. Διάφορα ἄλλα ἀποσπάσματα ἐκ τῶν λόγων **πατέρων** περὶ τῶν ὕμνων.

7. Εὐχαί τινες.

112. 31. Χαρτ. 8. XVII.

1. Ὕμνοι τριαδικοὶ καὶ πένθη **Θηκαρᾶ.**

2. "Κανὼν χαιρετήσιμος εἰς τὴν ὑπεραγίαν Θεοτόκον."

3. "**Θεοδούλου** Διήγησις περὶ τῶν ὕμνων."

*113. 32. Χαρτ. 8. XVII.

1. "**Θεοδούλου μοναχοῦ** Διήγησις περὶ τῶν ὕμνων" καὶ ἐκ τῶν λόγων ἄλλων **πατέρων** περὶ τῶν αὐτῶν.

2. Ὕμνοι τριαδικοὶ καὶ πένθη **Θηκαρᾶ.**

3. "**Διονυσίου μοναχοῦ** Γνωστικὰ κεφάλαια ν' περὶ διαφορᾶς τῶν θείων ὕμνων."

4. "Τοῦ **αὐτοῦ** Ἑρμηνεία πῶς δεῖ μεταγράφειν τοὺς ὕμνους."

5. "Ὡρολόγιον σὺν Θεῷ τῶν θείων ὕμνων καὶ κοιναὶ εὐχαὶ μετὰ τροπαρίων· εἰσὶ δὲ πόνημα **Θηκαρᾶ μοναχοῦ.**"

Μετὰ τῶν συνήθων ἐν τοῖς κώδιξι τούτοις φερομένων τριῶν εἰκόνων Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ μεγάλου καὶ Γρηγορίου τοῦ Διαλόγου.

6. Κανόνες τινὲς καὶ εὐχὴ εἰς τὴν Θεοτόκον.

Ἐν τέλει·

Δῶρον τὸ παρὸν τοῦ Θεοῦ συνεργείᾳ
ἔγραψεν ἰδοὺ Ἀντώνιος ἐν πόνῳ
ἔτους ͵ζρμ' (=1632).

114. 33. Χαρτ. 8. XVII.

1. "**Θεόκλητος μοναχὸς** καὶ ἀμελὴς τῶν τοῦ Χριστοῦ ἐντολῶν, τοῖς ἐντευξομένοις χαίρειν" ἤτοι πρόλογος τοῦ γράψαντος.

2. Ὕμνοι τριαδικοὶ καὶ πένθη **Θηκαρᾶ.**

3. Ἀποσπάσματα ἐκ τῶν λόγων **πατέρων** περὶ τῶν ὕμνων.

4. "Ἀρχὴ σὺν Θεῷ τῆς ἑρμηνίας τῆς ἀσκητικῆς ἀκολουθίας, πῶς εἶναι πρέπον νὰ διαβάζεται."

5. Εὐχαὶ καὶ κανόνες εἰς τὴν Θεοτόκον.

Ἐν τέλει Ἐγράφη τὸ παρὸν βιβλίον παρ' ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ Θεοκλήτου τοῦ Ἰβερίτου.

115. 34. Χαρτ. 8. XVIII.

Εὐχαὶ τοῦ Λυχνικοῦ καὶ τοῦ Ὄρθρου.

116. 35. Χαρτ. 8. XVII.

1. Αἱ τρεῖς λειτουργίαι.

Ἐν τέλει Ἐγράφη διὰ χειρὸς Σεραφεὶμ μοναχοῦ ἐν ἔτει ͵ζριγ' (=1605).

2. Εὐχὴ συγχωρητικὴ λεγομένη εἰς ἕνα καὶ μόνον.
3. "Εὐχὴ συγχωρητική."
4. Εὐχαὶ ἐπ' εὐλογίᾳ τῶν σταφυλῶν.

117. 36. Χαρτ. 8. XVII. XVIII. XIX.
1. Εὐχὴ εἰς τὴν Θεοτόκον (XVIII).
2. Κανόνες δύο παρακλητικοὶ εἰς τὴν Θεοτόκον (XVII).
3. "Ἀκολουθία εἰς τοὺς ὁσίους πατέρας ἡμῶν Σάβα καὶ Συμεῶν" (XVIII).
4. Εὐχαὶ τρεῖς εἰς τὴν Θεοτόκον (XIX).

118. 37. Χαρτ. 8. XVIII.
1. Ἀκολουθία τοῦ ἁγίου Παντελεήμονος.
Ἐν τέλει Τίς, Εὐθύμιος μοναχὸς καὶ πάσης ἀρετῆς ξένος.
2. "Μαρτύριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Παντελεήμονος, μεταφρασθὲν εἰς τὴν κοινὴν γλῶτταν παρὰ **Ἰγνατίου ἱερομονάχου** εἰς ὠφέλειαν τῶν ἀκουόντων."

119. 38. Χαρτ. 8. XVII.
1. Ἀκολουθία τῆς κοιμήσεως τῆς ἁγίας Ἄννης.
Ἐν τέλει Εὔχεσθε ὑπὲρ τοῦ γράψαντος Ἰγνατίου εὐτελοῦς ἱερομονάχου.
2. "Κατήχησις τοῦ ἁγίου **Θεοδώρου τοῦ Στουδίτου** περὶ τῆς ἐνταῦθα ἀποβιώσεως καὶ τῆς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν καταπαύσεως."
3. "Ἐκλογὴ εἰς τὴν μνήμην τῆς ἁγίας Ἄννης."
4. Κανὼν εἰς τὴν Θεοτόκον.

120. 39. Χαρτ. 8. XVII.
1. Ἀποστολοευάγγελά τινα (ἀκέφαλα).
2. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία.
Ἐν τέλει Χεὶρ Ἀρσενίου μονοτρόπου.
3. **Βασιλείου τοῦ μεγάλου** Λειτουργία.
4. Εὐχαί τινες.
5. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.
6. Ἀποστολοευάγγελα τῆς ἑβδομάδος.

121. 40. Χαρτ. 16. XVII.
Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.
Ἐν τέλει Ἡ παροῦσα λειτουργία ἐγράφη παρ' ἐμοῦ Γαλακτίωνος εὐτελοὺς τῶν ἱερομονάχων, τοῦ ἐξ Ἰωαννίνων...ἐπὶ ἔτους 1680 ἤγουν ᾳχπ', εἰς αὐτὸν τὸν χρόνον καὶ τὸν καιρὸν ὁποῦ ἐτελειώθη ὁ θεῖος ναὸς αὐτῆς τῆς ἁγίας θεομήτορος Ἄννης..

122—127. 41—46. Χαρτ. 8, 16. XVI—XIX.
Ἐκκλησιαστικὴ μουσική.

Γ΄

ΚΩΔΙΚΕΣ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΤΗΣ ΜΟΝΗΣ ΑΓΙΟΥ ΠΑΥΛΟΥ

128. 1. Περγ. 4. XIV.

Εὐαγγέλιον

Ἐλλιπές, *μενόντων μὲν φύλλων* 50, λειπόντων δὲ πολλῶν *περὶ τὰ μέσα.* Ἐν τέλει *Αὕτη ἡ βίβλος ὑπάρχει* Βαρνάβα *τοῦ ἱερομονάχου, ἐγράφη δὲ παρ᾽ ἐμοῦ* Ματθαίου *τοῦ καὶ τάχα θύτου οὗ καὶ πάμπαν ἡμαρτηκότος εὔχεσθε δέ μοι διὰ τὸν Κύριον.*

Ἐν *φύλλῳ* 19 α *τοῦ κώδικος ἀναγινώσκεται ἡ ἑξῆς σημείωσις·* ''Τῆς *μονῆς τῆς θεομήτορος ᾠκοδομηθείσης τῷ* ϛτλη΄ *ἰνδικτιῶνος* ''*η΄ τῇ γ΄ μεσοῦντος μηνὸς* Αὐγούστου *ὑπὸ τοῦ βασιλόπαιδος* ''Προκοπίου *τοῦ ὕστερον* Παύλου *προσαγορευθέντος δι᾽ ἣν αἰτίαν* ''*καὶ* Παύλου *μονὴ καλεῖται ἐπὶ τῶν παλαιῶν ἐρειπίων τοῦ* ''*μονηδρίου τῶν* Εἰσοδίων *τὸ ὑπὸ* Στεφάνου *τινὸς μοναχοῦ ἐπὶ* ''*τῷ δεκάτῳ καὶ τρίτῳ ἔτει τῆς βασιλείας τοῦ ἰσαποστόλου* ''Κωνσταντίνου *ἐν ᾧ χώρῳ ὁ τοῦ* Ἀπόλλωνος *βωμὸς ὑψοῦτο* ''*ἔσχεν ὁ τῶν* Εἰσοδίων *ναὸς ἁγιογράφους τὸ πρῶτον* Καλλί-''*στρατον,* Νίκανδρον *καὶ* Ἀπόλλωνα *αὐταδέλφους* Ὀλυνθίους *τὴν* ''*πατρίδα καὶ μαθητὰς τοῦ ὁσίου.* Μετὰ *δὲ χρόνους ὀγδοήκοντα* ''*καὶ ἐξ τοῦ καταστεγάζοντος τοῦ ναοῦ διαρραγέντος καὶ τἄλλα* ''*φθαρέντος τὸ σύνολον ἀπὸ σεισμοῦ* Βαρθολομαῖον *καὶ* Ἰωαννί-''*κιον* Ῥοδίους *ἀδελφοὺς τῆς αὐτῆς μονῆς ἔσχεν ἁγιογράφους.* Τῷ ''*δὲ* ϛυϛε΄ *τῆς μονῆς ἐπεκταθείσης καὶ τοῦ ναοῦ ἀνακαινισθέντος* ''Νίκανδρον Παῦλον Ἰωαννίκιον *καὶ* Μελχισεδὲκ *τὸν* Συμαῖον *τῆς* ''*ἁγιογραφίας ἐγκρατεῖς καὶ τῆς ψηφογραφίας ἔσχεν· οὐ χρώ-*''*μασιν, ἀλλὰ ψηφίοις ποικίλοις τὸν ναὸν καθωράϊσαν.* Καὶ ''*ταῦτα πρὸς μνήμην* Σεραφεὶμ *τοῦ* Ἁγιοπαυλίτου *τοῦ καὶ ἡγου-*''*μένου τῆς αὐτῆς μονῆς τυγχάνοντος ληφθέντα ἐκ τῆς βίβλου* ''*τῆς ἐπιγεγραμμένης* Χιλιὰς *ἁγιογραφικὴ πραγματευομένη* ''*ὑποθέσεις χιλίων ἐτῶν ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας, συγγρα-*''*φείσης τῷ* ,ϛφπη΄ *παρά τινος* Διονυσίου Ἀλεξανδρέως *ἐκ τῆς* ''*μεγάλης* Λαύρας. Καὶ *ταῦτα μὲν ἐνταῦθα διὰ τὸ πρόχειρον* ''*καὶ ἀσφαλὲς ἐσημείωσα τῷ* ,ϛωκε$^{\omega}$ *τῇ ζ΄ μεσοῦντος μηνὸς* ''Μαρτίου.''

Καὶ *ἡ μὲν σημείωσις αὕτη ἐδημοσιεύθη μετά τινων σφαλμάτων, διορθωθέντων ἐνταῦθα, ὑπὸ τοῦ φιλοτίμου ἡγουμένου τῆς μονῆς τοῦ ἁγίου* Παύλου κ. Σωφρονίου *τοῦ* Καλλιγᾶ *ἐν σελίδι* 16 *τοῦ συγγραμματίου αὐτοῦ τοῦ ἐπιγραφομένου* ''Ἀθωνιὰς *ἤτοι σύντομος περιγραφὴ τοῦ ἁγίου ὄρους* Ἄθωνος...Ἐγράφη *ἐν τῇ τοῦ ἁγίου* Παύλου *μονῇ ἐν ἔτει σωτηρίῳ* ᾳωξγ΄.'' Ἀλλὰ *τό τε ὕφος καὶ περιεχόμενον τῶν γεγραμμένων καὶ ὁ ῥυθμὸς τῶν γραμμάτων τῆς σημειώσεως ἐν τῷ κώδικι καθιστῶσιν αὐτήν, κατ᾽ ἐμὲ κριτήν, ὕποπτον, διὸ καὶ θεωρῶ αὐτὴν παρεγγεγραμμένην ἐν χρόνοις νεωτέροις, καὶ δὴ ὑπὸ τοῦ περιβοήτου* Σιμωνίδου.

129. 2. Περγ. 4. *ἔτ.* 800.

1. Πίναξ *τῶν περιεχομένων ἐπὶ χάρτου, οὗ ἐν τέλει χειρὶ* XVIII *αἰῶνος* Ἐγράφη *δὲ παρὰ* Μαρίας *βασιλίσσης ἐν ἔτει* ω+800.

2. '' Βιογραφία Ἀνδρέου Καισαρείας.''

3. ''Ἰωάννου Ζωναρᾶ Περὶ Μαρίας *βασιλίσσης ἀντιγραψάσης τὴν βίβλον ταύτην.*''

4. Αἱ *πράξεις τῶν* Ἀποστόλων,

ὧν τὰ κ΄ πρῶτα φύλλα χαρτῷα. Τὸ *δ᾽ ἐπὶ περγαμηνῆς μέρος ἄρχεται...παντὸς τοῦ πλήθους καὶ ἐξελέξαντο* Στέφανον *ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου.* Τὸ *ἐπὶ περγαμηνῆς μέρος ἔχει καὶ παρασελίδια σχόλια ἀρχόμενα ὡς ἑξῆς·* Ἅπαντες *ἦσαν πλήρης πίστεως οὓς ἐξελέξαντο ἵνα μὴ τὰ αὐτὰ γένηται οἷα ἐπὶ* Ἰούδα *οἷα ἐπὶ* Ἀνανίου.

5. **Αἱ ἐπιστολαὶ τῶν Ἀποστόλων**

μετὰ παρασελιδίων σχολίων.

6. **Ἰωάννου τοῦ Θεολόγου** Ἀποκάλυψις,

ἔχουσα παρασελίδιον τὴν ἑρμηνείαν **Ἀνδρέου τοῦ Καισαρείας.** Ἐν *τέλει τοῦ κώδικος ἐπὶ φύλλου περγαμηνῆς*

Σταυρὲ φύλαττε βασίλισσαν Μαρίαν.

Ἐν *ἀρχῇ ἱκανὰ φύλλα ἐκπεσόντα ἀντικατεστάθησαν ὑπὸ ἄλλων* (Χαρτ. XVIII.) *ὡς καί τινα φύλλα περὶ τὰ μέσα.*

Ὁ *κῶδιξ οὗτός ἐστι πολύτιμος ἅτε γραφεὶς ὑπὸ γνωστῆς αὐτοκρατείρας τοῦ* Βυζαντίου, *τῆς ἀτυχοῦς συζύγου* Κωνσταντίνου *τοῦ* ϛ΄, *τοῦ υἱοῦ τῆς περιβοήτου* Εἰρήνης. Τοῦ Κωνσταντίνου *καταληφθέντος ὑπὸ σφοδροῦ ἔρωτος πρὸς τὴν* Θεοδότην, *ἡ πρώτη σύζυγος αὐτοῦ, ἡ* Ἀρμενία Μαρία, *ἀπεπέμφθη ἀδίκως καὶ παρὰ τὰς παραστάσεις τοῦ πατριάρχου* Ταρασίου *καὶ ἐνεκλείσθη εἴς τινα μονὴν τῷ* 795. Ἐκ *τοῦ κώδικος τούτου μανθάνομεν ὅτι ἔζη ἔτι τῷ* 800 *ἀσχολουμένη περὶ τὴν ἀντιγραφὴν ἱερῶν βιβλίων.* Ἴδ. *καὶ κατωτέρω κώδ. ἀρ.* 175 (48).

130. 3. Περγ. 8. XII.

1. **Ἐφραὶμ τοῦ Σύρου** *Λόγοι ἀσκητικοί* (ἀκέφ.). Ἀρχ. (λογ. ϛʹ) *μὴ οὖν τὴν ἐσθῆτα τὴν λαμπρὰν προάγει ὁ ἀθλητὴς ἐν καιρῷ ἀγῶνος.* Ὁ ζʹ λόγος ἐπιγράφεται **Τοῦ αὐτοῦ** *Παραίνεσις εἰς τὸν προεστῶτα καὶ εἰς τοὺς ὑπ' αὐτὸν μοναχούς.*—Ἀρχ. *Ἀδελφὲ ἐπιστεύθης ψυχάς.* ηʹ **Τοῦ αὐτοῦ** *Περὶ ὑποτακτικῶν μοναχῶν τῶν πειραζομένων.*—κθʹ **Τοῦ αὐτοῦ** *Μακαρισμοὶ καὶ ἔπαινος τῶν ἀγωνιζομένων.*—λʹ **Τοῦ αὐτοῦ ἁγίου Ἐφραὶμ** *Λόγος εἰς τὸν Ἀντίχριστον.*

2. "Πρόλογος τῆς βίβλου **τοῦ μακαρίου Δωροθέου.**"

3. "Ἐπιστολὴ πρὸς τὸν ἀποστείλαντα ἀδελφόν."

4. "**Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Δωροθέου** Λόγοι οὓς εἶπεν πρὸς τοὺς ἰδίους μαθητὰς μετὰ τὸ συστήσασθαι τὴν ἰδίαν μονὴν καὶ ἐξελθεῖν σὺν Θεῷ εἰς τὸ ἴδιον θέλημα, μετὰ τὸ ἀποθανεῖν δῆλον ὅτι τὸν ἀββὰν Ἰωάννην καὶ τελείαν σιγὴν τοῦ ἀββᾶ Βαρσανουφίου."

Ὁ αʹ ἐπιγράφεται "*Περὶ ὑποταγῆς*," ὁ δὲ ιαʹ (κολοβ.) "**Τοῦ αὐτοῦ** *περὶ τοῦ σπουδάζειν ἐκκόπτειν τὰ πάθη πρὸ τοῦ ἐν ἕξει κακῇ γενέσθαι τῇ ψυχῇ τῶν τοιούτων.*"

*131. 4. Περγ. 8. XIV.

Τετραευάγγελον.

Πρὸ ἑκάστου τῶν Εὐαγγελιστῶν πίναξ τῶν περιεχομένων κεφαλαίων διὰ γραμμάτων χρυσῶν. Τὰ ἀρχικὰ γράμματα ἐπ' ἴσης χρυσᾶ· ἐπίτιτλα κοσμήματα ἡμιεφθαρμένα. Ἐν τέλει ἕπεται "*Δήλωσις ἐκκλησιαστικῆς τάξεως τῶν καθ' ἑκάστην ἡμέραν λεγομένων εὐαγγελίων τοῦ ὅλου ἐνιαυτοῦ.*"

132. 5. Περγ. 8. XIII.

Τετραευάγγελον.

Ἐν τέλει φύλλον (Περγ. φυλ. σελ. 2), περιέχον ἀπόσπασμα Εὐαγγελίου κατὰ Ματθαῖον.

133. 6. Χαρτ. 4. XIX.

"Ὀρθόδοξος ὁμολογία τῆς πίστεως

τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τῆς ἀνατολικῆς. Εἰσαγωγικὴ ἔκθεσις περὶ τῶν τριῶν μεγίστων ἀρετῶν πίστεως ἐλπίδος καὶ ἀγάπης. Ἐτηπώθη τοῦ παρόντος τὸ τηπωμένο βιβλήο ἧς τὴν Οὐγγροβλαχίαν ἐν ἐξόδοις τοῦ κυρίου Ἰωάννου Κωνσταντίνου Μπασαραπα βοέβοδα τοῦ Μπρακοβάνου. Τοῦ παρόντος τῶ σταχομένο καὶ τηπομένο βιβλίο τῶ ἐσήνθεσε καὶ τῶ ἐδιάταξε ὁ μακαριώτατος πατρυάρχης **ὁ Δοσίθεος Ἱεροσολύμων.**"

Ἔστι δὲ γεγραμμένος ὁ κῶδιξ κατὰ δύο σελίδας, ὧν ἡ μὲν ἀριστερὰ τοῦ ἀναγινώσκοντος περιέχει τὸ ἑλληνικὸν κείμενον, ἡ δὲ δεξιὰ τουρκικὴν μετάφρασιν γεγραμμένην δι' ἑλληνικῶν χαρακτήρων. Ἐξεδόθη δὲ τὸ περὶ οὗ ὁ λόγος ἔντυπον βιβλίον, οὗ ἀντίγραφόν ἐστιν ὁ κῶδιξ, τῷ 1699. Ἴδ. Βρετοῦ Νεοελλ. Φιλολογίας τόμ. Αʹ ἀρ. 131.

134. 7. Χαρτ. 4. XIX. (σ. 186).

1. "Ἀπανθήσματα ἐκ τοῦ **Γεροντικοῦ**

τῶν ἀποφθεγμάτων τῶν πανοσίων καὶ θεοφόρων πατέρων· καὶ αἱ περίοδοι τοῦ ἁγίου ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου μεταφρασθεῖσαι εἰς ἁπλὴν πεζὴν φράσιν καὶ ἄλλα τινὰ ὠφέλιμα καὶ χρήσιμα...ͅαωμαᵠ."

2. "Κεφάλαια τέσσαρα ἀντιρρητικὰ

πρὸς τοὺς ἀντιφερομένους εἰς τὴν ἀρχαίαν παράδοσιν τῆς ἁγιωτάτης τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἀνατολικης ἐκκλησίας."

135. 8. Χαρτ. 8. μέγ. XIX. (σ. 410).

"Ἐκλογαὶ ἔκ τε τῆς Παλαιᾶς Διαθήκης καὶ ἑρμηνείας τῶν Πατέρων."

Κεφ. κʹ. Προτάσσεται προοίμιον. Ἐν τέλει Πίναξ τῶν περιεχομένων μὴ ἠριθμημένος.

136. 9. Χαρτ. 8. μέγ. XVIII.

1. "Ἀρχὴ σὺν Θεῷ τῆς ὑποθέσεως τοῦ βιβλίου, τῆς ἐχούσης μὲν τὴν ἀνάμνησιν τῆς ἰδίας ψυχῆς, ὑπὸ δὲ εὐχῶν πατέρων συνεγράφη, Παύλου τε φημὶ, Μάρκου σὺν Θωμᾷ, καὶ Ἰωάννου ἅμα, Ἰακώβῳ τε Λουκᾷ καὶ Μακαρίῳ τε πρὸς ὃν ἐστάλη αὕτη παρὰ μοναχοῦ τοῦ **Δαμασκηνοῦ Πέτρου**· συνεργείᾳ δὲ τριῶν ἀρχιερέων, ὧν αἱ εὐχαὶ μὲν συνήργησαν τῷ λόγῳ, τῇ δὲ συμβουλῇ ὠφέλησαν μεγάλως." Ἀρχ. *Πολλῶν καὶ μεγάλων κατὰ χάριν ἀξιωθεὶς δωρεῶν.*

2. "**Πέτρου Δαμασκηνοῦ** μοναχοῦ Εἰς τὸ Πρόσεχε σεαυτῷ."

3. "Κυροῦ **Θεοδώρου τοῦ Προδρόμου** Τετράστιχα ἰαμβεῖα εἰς τὰ κεφαλαιωδῶς ῥηθέντα ἐν τῇ Παλαιᾷ πάσῃ γραφῇ."

Τὸ ὅλον τετράστιχα 182.

4. **Τοῦ αὐτοῦ** Ἐπιγράμματα (τετράστιχα) εἰς τὰ κεφαλαιωδῶς ῥηθέντα τῆς Νέας Διαθήκης.

5. "Κυροῦ **Θεοδώρου τοῦ Προδρόμου** Τετράστιχα ἰαμβικὰ εἰς τὰ κεφαλαιωδῶς ῥηθέντα εἰς τὴν ἐξ ἐπαγγελίας γέννησιν Γρηγορίου τοῦ Θεολόγου."

6. "**Τοῦ αὐτοῦ** Τετράστιχα ἰαμβεῖα εἰς τὰ κεφαλαιωδῶς ῥηθέντα ἐν τῷ βίῳ τοῦ Χρυσοστόμου."

7. "Τοῦ **Ἰωάννου Ψελλοῦ** Εἰς τοὺς ἁγίους τρεῖς ἱεράρχας."

8. **Τοῦ αὐτοῦ** "Εἰς τὰς ἁγίας ἑπτὰ συνόδους."

9. "Τοῦ κυροῦ **Θεοδώρου Προδρόμου** Ἐπὶ ἀποδήμῳ φιλίᾳ" διάλογος μεταξὺ Ξένου καὶ Φιλίας.

10. "**Τοῦ αὐτοῦ** Σχετλιαστικοὶ εἰς τὴν Πρόνοιαν."

11. "**Τοῦ αὐτοῦ** Εἰς εἰκονισμένον τοῦ βίου."

12. Στίχοι ἀνεπίγραφοι. Ἀρχ. *Ὁρᾷς θεατὰ τοῦ τυφῶνος τὴν χάριν.*

13. "Τοῦ **Φιλῆ** πρὸς τὸν αὐτοκράτορα, ὅτε ἐπὶ χρονογραφίᾳ μεταμεληθεὶς, ἀστητήθη ὅρμον περὶ ἀσφαλίας."

14. "Τοῦ **Καλλικλέους** Στίχοι εἰς τὸν καλὸν σταυρὸν τὸν κοσμηθέντα παρὰ τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης."

15. "**Νικηφόρου** πόνημα τοῦ **Ξανθοπούλου**
Γραφῆς πάσης σύνοψις ἠκριβωμένη."

16. **Τοῦ αὐτοῦ** Κατάλογοι βασιλέων Ἀσσυρίας, Βαβυλῶνος, Μακεδονίας, Συρίας, Ἑλλήνων, Ῥωμαίων, Χριστιανῶν καὶ τῶν πατριαρχῶν.

17. "Χριστοῦ γενεαλογία," οἱ πατριάρχαι τῶν ιβ' φυλῶν τοῦ Ἰσραήλ, αἱ πληγαὶ τῆς Αἰγύπτου, ὁ δεκάλογος, οἱ μαθηταὶ τοῦ Χριστοῦ, εὐαγγελισταὶ καὶ διάκονοι.

18. "Εὐαγγελιστῶν ἡ τετρὰς ὅσα γράφει
θαύματα Χριστοῦ τοῦ θεανθρώπου λόγου."

19. "Παραβολὰς δ' ἐνταῦθα τεσσάρων ἄθρει
Εὐαγγελιστῶν τοῖς θεοῦ λόγοις φίλος."

20. Πράξεων καὶ ἐπιστολῶν τὸ περιεχόμενον.

21. Αἱ βίβλοι τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης.

22. "Οἱ καλλύναντες ἐν λόγοις ἐκκλησίαν."

23. "Οἱ τὰ μέλη πλέξαντες ὕμνων ἐνθέων."

24. "Τὰ φρικτὰ πάθη τοῦ θεανθρώπου λόγου."

25. "**Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου**
Συνοπτικὴ σύνοψις ἁγίων χρόνου."

26. "Τριῳδίου σύνοψις ἀκριβεστάτη."

27. **Τοῦ αὐτοῦ** "Εὐχὴ ἐξομολογήσεων πρὸς τὸν ποιητὴν καὶ πλάστην ἡμῶν Θεὸν περιέχουσα πάντα τὰ ἀνθρώπινα πάθη καὶ ἐκφαυλίζουσα."

Ἐν τέλει Τὸ παρὸν τὸ ἀντίγραψεν Ἰωάννης Κρῆς ζωγράφος 1783, *ἐν μηνὴ Ἰουνίου, ἐν Σινά.*

28. "Προσφώνημα προσφωνηθὲν τῇ μεγάλῃ αὐτοκρατορίσσῃ τῶν Ῥωσσῶν Αἰκατερίνα β', παρὰ τοῦ σοφωτάτου **Εὐγενίου** [**τοῦ Βουλγάρεως**] κατὰ τὴν ἡμέραν τῆς αὐτοῦ ἀρχιερατείας αῃ μηνὸς Ὀκτωβρίου ἐν Μόσχᾳ εἰς τὸ μοναστήριον τῶν Γραικῶν. ᾳψοε^ω."

29. "**Τοῦ αὐτοῦ**(;) Τρόπος ἐξομολογήσεως."

30. "**Τοῦ αὐτοῦ** [**Ἀλεξάνδρου Μαυροκορδάτου**] Ψόγος νικοτιανῆς."

31. Χρονολογικαὶ σημειώσεις περὶ αὐτοκρατόρων τινῶν τῆς Ῥωσίας καὶ Ἐγκύκλιος τῆς εἰς τὸν θρόνον ἀναβάσεως Ἀλεξάνδρου.

32. "Χριστιανικὴ διδασκαλία συντομωτάτη, κατὰ τὰς γραφὰς, διὰ τὸ πρόχειρον τῶν ἀναγκαίων, περίληψις πρὸς ὠφέλειαν τῶν ἐντυγχανόντων. **Ἐφραὶμ πατριάρχου Ἱεροσολύμων.**"

33. "Ἐπιστόλιον Λοδουήκῳ Λοπαδίῳ ἐν Κωνσταντίᾳ πόλει τῆς Γερμανίας καλλιστῶν μαθήσεων διδασκάλῳ, τὸ ὑγιαίνειν ἀεί."

34. Πίναξ τῶν περιεχομένων.

35. "Romae "**Ὥρου Ἀπόλλωνος** Νείλου ἱερογλυφικὰ ἐκλεκτά."

Τὰ ὑπ' ἀρ. 3—7, 9, 10, 12—26, *εἰς ἰαμβεῖα τρίμετρα, τὰ δ' ὑπ' ἀρ.* 8 *καὶ* 11 *εἰς στίχους πολιτικούς.*

137. 10. Χαρτ. 8. XIX.

1. "Ἀκολουθία καὶ νουθεσίαι, Μαΐου εὐδόμι, τοῦ ὁσίου πατρὸς ἡμῶν **Νείλου τοῦ Ἀθωνίτου** καὶ μυροβλύτου."

Ἀντεγράφθη παρ' ἀμαθοῦ τινὸς ἀμονάχου μοναχοῦ ἐν ἔτει αωνά ἐν τῷ ἁγιωνύμω ὄρει, 1851.

2. "Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου τοῦ Ἀθωνίτου."

3. "Θαύματα τοῦ ἁγίου Νείλου."

4. "Διήγησις καὶ βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Σερβίου" καὶ ἄλλαι διηγήσεις ἐκ τοῦ **Γεροντικοῦ**.

5. "Διδασκαλία ἀρίστη ἐρρανισθεῖσα παρὰ τῶν θείων **πατέρων** τοῦ μυστηρίου τῆς νοερᾶς προσευχῆς."

6. "Διδασκαλία τῶν ἁγίων **πατέρων** πῶς νὰ πολιτεύεται ὁ μοναχός."

Τὰ ὑπ' ἀρ. 5 *καὶ* 6 *ἐν τῇ καθωμιλημένῃ.* Μεταξὺ δὲ τῶν ἀρ. 4 καὶ 5 *δύο Πίνακες τῶν περιεχομένων.*

138. 11. Χαρτ. 8. XIX.

1. "Ὑπόμνημα εἰς τὸν βίον, θαύματα καὶ μετάστασιν τοῦ πανενδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου."

2. "Ἀκολουθία τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου."

3. "Αἱ περίοδοι Ἰωάννου τοῦ Θεολόγου συγγραφεῖσαι παρὰ Προχώρου...μεταφρασθεῖσαι εἰς ἁπλῆν φράσιν."

4. Ἀκολουθία τοῦ ἁγίου Γοβδελαᾶ.

139. 12. Χαρτ. 8. XIX.

1. "Ἐκλογαὶ ἐκ τοῦ ἀββᾶ **Ἰσαὰκ τοῦ Σύρου**"

Προτάσσεται δίκην προλόγου Ἐπίγραμμα σὺν Θεῷ περὶ σιωπῆς καὶ ἡσυχίας καὶ βίου ἠρέμου τοῦ συνίστασθαι δυναμένου πρὸ παντὸς ἔργου, ἀπὸ ἐποχῆς γλώττης καὶ πρᾳείας καρδίας, ἐν ᾧ καὶ μικρὸς ἔπαινος ἀπὸ ἰδιωτικῶν χειλέων προσφερόμενος τῷ ὁσίῳ πατρὶ Ἰσαὰκ τῷ Σύρῳ.

2. "Ἐκλογαὶ ἐκ τῶν τῆς Παλαΐας Διαθήκης καὶ ἑρμηνεῖαι τῶν Πατέρων."

140. 13. Χαρτ. 8. XVIII.

"Κανόνες ἐξηγημένοι τῶν τριῶν δεσποτικῶν ἑορτῶν" *τῆς ἑρμηνείας ἑπομένης εἰς ἓν ἕκαστον τῶν τροπαρίων.*

Ἐν ἀρχῇ τρία φύλλα καὶ ἐν τέλει δέκα, ἐν οἷς "*Ἱστορία φυσικὴ καὶ ἠθικὴ τοῦ ἀνθρώπου, πόνημα* **Ἐπιφανίου Δημητριάδους** *τοῦ ἐν νήσου Σκιάθου, συντεθὲν ἐπὶ ἔτει σωτηρίῳ* 1810 *Μαΐου ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος.*"

141. 14. Χαρτ. 8. XVIII.

"Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Συμεὼν τοῦ νέου Θεολόγου**" Λόγοι.

142. 15. Χαρτ. 8. XIX.

1. "Θεωρίαι εἰς τὰς ἑπτὰ ἡμέρας τῆς ἑβδομάδος ἀναγινωσκόμεναι παρὰ τῶν μοναχῶν κατ' ἰδίαν ἐν τοῖς κελλίοις."

Ἐν τέλει ᾳωμβ' (=1842). *Μηνὶ Μαΐω...χειρὶ μοναχοῦ Ἰακώβου ἀγνώστου.*

2. "Εὐχὴ τοῦ μικροῦ ἁγιασμοῦ."

3. Κανὼν παρακλητικὸς εἰς τὸν ἅγ. Παντελεήμονα.

4. "Ἀκολουθία τοῦ Τρισαγίου."

5. Εὐχαί τινες.

143. 16. Χαρτ. 8. XVIII.

1. Πίναξ τῶν περιεχομένων.

2. "Τοῦ ἁγίου **Ἀναστασίου** Ἀποκρίσεις πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἐρωτήσεις" κεφ. ρνζ'.

3. "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Νείλου** Ἀσκητικὸν λόγιον."

4. "**Τοῦ αὐτοῦ** Περὶ τοῦ πῶς δεῖ προΐστασθαι τῷ καθηγουμένῳ."

5. "**Τοῦ Ἰώβ.**"

Ἐν τέλει...Καὶ τόδε δὲ ἐκ χειρὸς Γεωργίου πέρας εἴληφε τῇ ιδ' τοῦ Ἰουλίου ,αψοβ' (=1772).

6. Δύο βραχεῖαι ἐρωταποκρίσεις ἐκκλησιαστικαί.

7. "Περὶ καταλύσεως, λύσεως καὶ νηστείας, καὶ ἡμερῶν τῶν καθ' ἕκαστον τούτων, ἐν ᾧ καὶ περὶ καθάρσεως, καὶ τίς ἡ ὄντως κάθαρσις, καὶ περὶ μετανοίας, τίνες τε οἱ ταύτης καρποί, καὶ ὁπόσος ὁ κατ' αὐτὸν χρόνος, κανονικὴ διάγνωσις."

144. 17. Χαρτ. 8. XIX. (σ. 58).

1 (σ. 1). "Ἑτέρα ὁμιλία τῇ β' Κυριακῇ τῶν ἁγίων νηστειῶν Περὶ ἐξομολογήσεως."

2 (σ. 42). "Ἐπιστολὴ περὶ κοσμικῆς ἐνθέου διαγωγῆς, ἡ ὁποία προξενεῖ τὴν αἰώνιον."

3 (σ. 46). "Περὶ μῆσος καὶ διχόνοιαν."

4 (σ. 52). "Περὶ ὑπομονῆς εἰς τὰς θλίψεις."

Ἅπαντα ἐν τῇ καθωμιλημένῃ.

145. 18. Χαρτ. 8. XVII.

"Ἀποφθέγματα καὶ ἱστορίαι τῶν ἁγίων σὺναγμέναι ἐκ τοῦ **Πατερικοῦ** καὶ ἐκ τῶν βίων τῶν ἁγίων, ἑρμηνευθέντα εἰς πεζὴν φράσιν, παρὰ **Γεώργίου ῥήτορος.**"

Κεφ. σβ', ὧν προτάσσεται πίναξ. Εν τέλει Ἐν ἔτη ͵αχξϛ' (=1666), Πόνος Νικόλας ἀναγνώστης.

146. 19. Χαρτ. 8. XV.

Ἰωάννου τοῦ Χρυσοστόμου Λόγων ἀποσπάσματα (ἀκέφ. κολοβ.).

ἰδίως ἐκ τῆς Ἑρμηνείας τῶν Ἀποστόλων καὶ τῆς τῶν Ψαλμῶν.

147. 20. Χαρτ. 8. XIX.

Γεροντικόν.

Ἐν τέλει *Ἔλαβε τέλος κατὰ τὸ ἔτος αωνδ', ἤτοι 1854.*

148. 21. Χαρτ. 8. XVI.

1. Βίος καὶ πολιτεία ὁσίου Νήφωνος. Ἀρχ. (ἀκέφ.) ...*τί ἐξέτεινας τὰς χεῖρας πρὸς τὸν οὐρανὸν... νάζων ἐκπληκτικῶς· λέγει αὐτῷ ὁ ἄγγελος ἑώρων τοὺς δαίμονας κύκλῳ αὐτοῦ κροτοῦντας καὶ ἑτέρους τραγῳδοῦντας.* Τέλ. *Καὶ ταῦτα μὲν περὶ τοῦ ὁσίου Νύμφωνος τοῦ ὁσίου μακαρίου* **Ἰωακεὶμ Ἱερομονάχου**· *τῷ Θεῷ ἡμῶν εἴη δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.*

2. "Ἕτερος λόγος ὅτι βλαβερά ἐστιν ἡ συνομιλία τῶν μοναχῶν μετὰ τῶν κοσμικῶν."

3. Περὶ μοιχείας.

4. "Ἕτερος λόγος περὶ Πρετωρίου συγκλητικοῦ καὶ τῆς αὐτοῦ θυγατρὸς καὶ τοῦ ἀρνησαμένου παιδὸς τὸν κύριον ἐγγράφως." Ἀρχ. *Ἑλλάδιος δὲ ὁ ἐν ὁσίᾳ τὴμῇ ἀνὴρ θαυμαστὸς αὐτόπτης καὶ ὑπηρέτης γὲνόμενος τῶν παρ' αὐτοῦ ἐπιτελεσθέντων θαυμάτων.*

5. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν μάταιον βίον.

6. **Τοῦ αὐτοῦ** Εἰς τὴν ἀρχὴν τῆς Τεσσαρακοστῆς.

Ἐν τῇ ὤᾳ· "*Τί ἐστι γυνή.*" Ἀρχ. *Ἐρώτ. Τί ἐστὶν γυνή. Ἀπόκρ. Γήϊνον φρόνημα. Τί γὰρ ἔστιν γυνή· παῖς κεκοσμημένη καὶ ἐξαπατῶσα τοὺς ἀνθρώπους.*

7. **Ἐφραὶμ τοῦ Σύρου** Περὶ τῆς δευτέρας παρουσίας.

8. **Τοῦ αὐτοῦ** Λόγος πρὸς διόρθωσιν τῶν ἐμπαθῶς διαγόντων.

149. 22. Χαρτ. 8. XVII.

1. Θεολογικὴ συγγραφὴ

ἐν τῇ καθωμιλημένῃ κεφ. νη' κατὰ τὸν ἐν ἀρχῇ πίνακα, ὧν τὸ τέλος τοῦ νγ' καὶ τὰ λοιπὰ ἐξέπεσον. Κεφ. α' "*Ὅτι ὁ Θεὸς ἤγουν ἡ ἁγία τριὰς ἔναι εἰς τρεῖς χαρακτῆρας πλὴν δὲ ἕνας Θεὸς ἔναι ἀμὴ ὄχι τρεῖς καὶ ὅτι ὁ ἄνθρωπος ἔναι κατ' εἰκόνα Θεοῦ καὶ ὅτι ὁ λόγος τοῦ Θεοῦ ἤγουν ὁ Χριστὸς ἔχει δύο γεννήσεις καθὼς καὶ ὁ λόγος τοῦ ἀνθρώπου.*"—Κεφ. β'. "*Ὅτι ὁ Θεὸς ἔναι ἀόρατος καὶ ἀπερίγραπτος καὶ ἀσχημάτιστος.*"— Κεφ. γ'. "*Περὶ τὰ τάγματα καὶ πόσαι οὐσίαι ἀγγέλων εἶναι.*"—Κεφ. να'. "*Ἐάν τινὰς ληστὴς νὰ κάμῃ ἑκατὸν φόνους καὶ νὰ τὸν ἐπιάσουν νὰ κόψουν τὸ κεφάλη του ἂν ἔναι καὶ ἐλευθερώθη ἀπὸ τοὺς φόνους ὁποῦ ἔκαμεν.*"—Κεφ. νβ'. "*Πόθεν εὐλέπομεν τινὰς δικαίους ἀνθρώπους καὶ κρίνονται ὁποῦ ψυχομαχοῦν πολλὰς ἡμέρας καὶ πολλοὺς ἁμαρτωλοὺς εἰρηνικῶς καὶ χωρὶς παίδευσιν ἐν τῷ ἅμα ἀποθένουν.*" —Κεφ. νγ'. "*Περὶ τὰ κορμία ἡμῶν τῶν ἀνθρώπων ὁποῦ πολλὰ ἐσκοτοτώθησαν καὶ ἀπὸ μυρία θηρία καὶ πετεινὰ ἐκαταφαγώθησαν ἢ εἰς τὴν θάλασσαν ἐπνίγησαν καὶ ἀπὸ μηρία θηρία καὶ ὀψάρια ἐφαγώθησαν καὶ ἐχαλάσθησαν καὶ ἐχωνεύθησαν εἰς τὴν κοιλίαν τῶν θηρίων καὶ τῶν ζώων καὶ ἐδιαλήθησαν καὶ ἐδιάβησαν τὰ κορμία ἐκεῖνα πῶς νὰ συμαζοχθοῦν πάλιν καὶ νὰ ἔλθουν εἰς τὴν ἀνάστασιν, ἤγουν εἰς τὴν κρίσιν τῆς δευτέρας παρουσίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.*"

2. Ἐρωταποκρίσεις τινές. Ἀρχ. *Τί ὑπάρχεις ἄνθρωπος καὶ τί ἐστι ἄνθρωπος.*

3. "Περὶ τῆς κυριακῆς προσευχῆς."

4. "Τὸ ἱερὸν σύμβολον τῶν ἁγίων **Ἀποστόλων.**"

5. "**Ἱππολύτου** Περὶ τῶν ιβ' Ἀποστόλων ποῦ ἕκαστος αὐτῶν ἐκήρυξε καὶ ποῦ ἐτελειώθη."

6. "**Τοῦ αὐτοῦ Ἱππολίτου** Περὶ τῶν ο'."

7. "Τὰ ἑπτὰ παλαιὰ τοῦ βίου θαύματα."

8. "Τί δηλοῖ ὁ σταυρὸς ὁποῦ σημειονομαισθαι."

9. "Περὶ τῆς γεννήσεως τοῦ ἀνθρώπου."

10. "Ἀπὸ Ἀδὰμ μέχρι τὴν παράδωσιν τῆς Κωνσταντινουπόλεως."

Χρονογραφία βραχυτάτη μόνον μέχρι Διοκλητιανοῦ, ἔνθα ἐξέπεσον φύλλα.

11. Χρονογραφία περὶ Τουρκοκρατίας (ἀκέφαλος). Ἄρχ....ζμς' ἐπῆγεν ὁ Σουλτὰν Σουλεημάνης εἰς τοὺς Κορφοὺς καὶ ἀπότυχε μετ' αἰσχύνης. Τέλ. Ἐν ἔτει ,ζοε' μηνὶ Ὀκτωβρίῳ ἐβασίλευσεν ὁ Σελήμης καὶ ἐχάλασεν καὶ ἐκούρσευσε τὰ μοναστήρια καὶ ἐπῆρε τὸν βίον τους· φεῦ τῆς μανίας καὶ τῆς ἀδικίας ὁποῦ ἔκαμεν· ἔτους ,ζοθ' ὁ Πεαληπασίας ἔλαβεν τὴν περίφουμον Κύπρον καὶ ὅλην τὴν περιοχὴν αὐτῆς καὶ ἔλαβεν ἄπειρον βίον καὶ αἰχμαλώτους οὐκ ὀλίγους ἄνδρες τε καὶ γυναῖκες.

12. "Αἱ ἡλικίαι τοῦ ἀνθρώπου."

13. "Αἱ πέντε αἰσθήσεις τῆς ψυχῆς καὶ τοῦ σώματος."

14. "Περὶ κλιμάτων τῆς γῆς, ἐν οἷς συμβαίνει αὔξησις καὶ μείωσις τοῦ νυχθημέρου ἐναλλὰξ διὰ τοῦ ἐνιαυτοῦ ἐφ' ἑκάστῃ ἀλιώσει."

15. "Οἱ ἑπτὰ πλανῆται τοῦ οὐρανοῦ."

16. "Οἱ δώδεκα μῆνες τοῦ ἔτους."

17. "Περὶ τοῦ ἡλίου καὶ τῶν δώδεκα ζωδίων."

18. "Περὶ τῶν ὀνείρων τῶν κάτωθεν γεγραμμένων πῶς δεῖ ἐρευνᾶσθαι ἐν τῇ σελήνῃ."

19. "'Αλφάβητος κατανυκτικὴ διὰ στίχων" (καταλογάδην).

Ἄρχ. Ἄνθρωπε πάσχεις καὶ θαρεῖς τὸν κόσμον νὰ κερδαίνῃς·
κακοπαθεῖς καὶ μάχεσε καὶ θέλεις νὰ πλουτήσῃς.

20. "Ἕτεροι στίχοι κατανυκτικοί" (καταλογάδην).

Ἄρχ. Ἄνθρωπε τὴν κλίνην σου ὡς τάφον βλέπε·
σὲ γὰρ πρῶτον ὕστερον ὁ τάφος μέλει.

21. Λόγος (ἀκέφαλος καὶ ἀνεπίγραφος). Ἄρχ.... καὶ τὴν ὥραν ἐκείνην ἐν ᾗ τὴν αὐλὴν ἐγνώρισεν, οὕτω καὶ ἡμεῖς, ἀδελφοὶ καὶ πατέρες, ἐν μὲν ταῖς εὐημερίαις θανάτου μνήμην οὐκ ἔχωμεν, ἐν δὲ ταῖς θλίψεσιν ὀλιγοροῦμεν καὶ ἀναθεματίζομεν τὸν βίον ἡμῶν καὶ τὴν ἡμέραν ἐν ᾗ ἐγεννήθημεν.

22. Διήγησις ἀββᾶ Μακαρίου τοῦ Αἰγυπτίου.

Ἄρχ. Πορνευόμενος ποτὲ τὶς τῶν ἁγίων πατέρων ἐν τῇ ἐρήμῳ, ἠκολούθησεν αὐτῷ ἄγγελος κυρίου καὶ εἶπεν αὐτῷ.

23. **Συμεὼν Θεσσαλονίκης** Εὐχὴ συγχωρητική.

24. "Ποῖα ἁμαρτήματα συγχωροῦνται μετὰ θάνατον διὰ τῶν λειτουργιῶν."

25. "Ὅτι οὐ μόνον εἰς τοὺς ἀποθαμένους ἔναι ὠφέλεια καὶ ἄφεσις ἁμαρτιῶν αἱ θεῖαι λειτουργίαι, ἀλλὰ καὶ εἰς τοὺς ζωντανούς."

26. **Ἀββᾶ Ἡσαΐου** "Περὶ τῶν διδομένων λειτουργιῶν εἰς σαραντάρια διὰ ζωντανοὺς καὶ δι' ἀποθαμένους."

27. **Συμεὼν Θεσσαλονίκης** "Περὶ τὸ τί ἔναι αἱ μερίδαι καὶ ἐὰν ἔναι εὔλογον νὰ προσφέρωνται διὰ γυναῖκας ὁποῦ νὰ ἔχουν ἄνδρας αἱρετικοὺς ἢ ἀσεβεῖς."

28. "Διατὶ αἰτίαν μετὰ τὸν θάνατον τοῦ ἀνθρώπου κάμνουν αὐτοῦ μνημόσυνα."

29. "**Διονυσίου ἱερομονάχου τοῦ ῥήτορος** Διδαχὴ ἁπλουστάτη καὶ σύντομος πρὸς τοὺς εὐσεβεῖς Χριστιανούς."

30. Λόγος περὶ ἐλεημοσύνης.

31. Ἱστορία Διονυσίου τοῦ ῥήτορος ἀσκοῦντος ἐν τῇ σκήτῃ τῆς Λαύρας. Ἄρχ. Ἐγὼ ἀδελφοὶ ἀναγινώσκοντάς μου τὰ βιβλία εὑρίσκω θαύματα.

32. Διήγησις περὶ ληστοῦ (κολοβή).

Τὰ ὑπ' ἀρ. 23—32 ἐν τῇ καθωμιλημένῃ.

150. 23. Χαρτ. 8. XVIII.

1. **Ἀλβέρτου Μαρίνου τοῦ Χίου** Λόγος εἰς τὴν σταύρωσιν τοῦ Χριστοῦ.

2. "Τοῦ **ἁγίου Βασιλείου** Λόγος ἀσκητικός."

3. "Περὶ κοινοβίων."

4. Βίος καὶ πολιτεία Ὀνουφρίου καὶ Παφνουτίου καὶ ἑτέρων ἀσκητῶν.

5. **Πατερικὸν καὶ Γεροντικόν.**

Ἐν τούτοις καὶ Βίος καὶ πολιτεία Μαρίας τῆς μετονομασθείσης Μαρῖνος.

6. Βίος καὶ πολιτεία Μακαρίου τοῦ Ῥωμαίου.

7. Βίος καὶ πολιτεία Παϊσίου τοῦ μεγάλου.

8. Βίος καὶ πολιτεία Πέτρου τοῦ Ἀθωνίτου.

Ἅπαντα ἐν τῇ καθωμιλημένῃ.

151. 24. Χαρτ. 8. XIX.

"Αἱ περίοδοι τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ...Ἰωάννου τοῦ Θεολόγου, συγγραφεῖσαι παρὰ... **Προχόρου.**"

152. 25. Χαρτ. 8. XIX.

1. "**Νικοδήμου Ἁγιορείτου** Εὐχὴ κοινὴ εἰς τὸν κύριον καὶ εἰς πάντας τοὺς ἁγίους ἐξομολογητική.

1979. 215. Χαρτ. 8. XIV.
Ὀκτωήχου κανόνες.

Ἐν τέλει· Ἐγράφη καὶ ἐπληρώθη τὸ παρὸν θεοτοκάριον διὰ χειρὸς καμοῦ τοῦ ἁμαρτωλοῦ Νείλου ἱερωμονάχου τοῦ Πολιανίτει, ἐν ἔτει ,ςωο' ἐν μηνὶ Ἰουνίῳ κδ' (=1362).

1980. 216. Περγ. Βομβ. 8. XIII.
Παρακλητική (ἀκέφαλος, κολοβή).

Σύγκειται ἐκ φύλλων Περγ. καὶ Βομβ. ἀναμίξ. Τὰ πρῶτα τῶν σῳζομένων ἐφθαρμένα.

1981. 217. Χαρτ. 16. XV.
Εὐχολόγιον.

1. "Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ."—2. Διάταξις τῆς θείας ἱερουργίας **Βασιλείου τοῦ μεγάλου**.—3. Ἑρμηνεία τῆς λειτουργίας τῶν προηγιασμένων.—4. Λειτουργία τῶν προηγιασμένων.—5. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λόγος εἰς τὴν μεγάλην Κυριακὴν τοῦ Πάσχα.—6. Ἀποστολοευάγγελα.—7. Εὐχαί.

1982. 218. Χαρτ. 16. XV.
Ὡρολόγιον.

*1983. 219. Χαρτ. φύλ. XIX.
1. "Ἀκολουθία

ἀσματικὴ πανηγυρικὴ τε καὶ τερποχαρμόσυνος εἰς τὴν κοσμοσωτήριον, καὶ τοῦ τῆς σωτηρίας ἡμῶν κεφαλαίου, καὶ χαρμόσυνον ἑορτὴν τοῦ θείου εὐαγγελισμοῦ τῆς Θεοτόκου Μαρίας. Ἐπαυξηθεῖσα καὶ πλουτισθεῖσα μετὰ προσομοίων προsθήκὴν καὶ ἰαμβικοῦ κανόνος ὅπως ἐκτελεῖται γηθοσύνως ἐν τοῖς ἐπ' αὐτὴν σεμνυνομένοις περικαλλέσι ναοῖς καὶ εὐαγέσι μοναῖς εἰς δόξαν αὐτῆς. Ἐπιμελείᾳ καὶ πόνῳ **Ἰακώβου μοναχοῦ** *εἰς ἀΐδιον μνήμην. Ἀθωνίησιν ἐν ἔτει αωλη' 1838."*

Προτάσσονται Στίχοι εἰς τὴν Θεοτόκον καὶ προsαγόρευσις Τοῖς ἐντευξομένοις.

2. Λόγος πανηγυρικὸς εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου.

Ὁ κῶδιξ κοσμεῖται ὑπὸ κομψῶν ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων.

*1984. 220. Χαρτ. φύλ. XIX. (φ. ια').

"Ὑπόμνημα καὶ θαυμάτων διήγησις

τῆς θαυμαβρύτου καὶ ἡλιομόρφου εἰκόνος τῆς Θεομήτορος Γλυκοφιλούσης τῆς περιβλέπτου μονῆς Φιλοθέου...καὶ Παράκλησις πρὸς τὴν αὐτὴν Δέσποιναν Γλυκοφιλοῦσαν...Συνταχθεῖσα δὲ ἤτε ὑπόμνησις καὶ παράκλησις παρὰ **Ἰακώβου μοναχοῦ Ἁγιορείτου**, ὑπὲρ οὗ εὔχεσθε οἱ ἐντυχόντες. Ἐν ἔτει σωτηρίῳ ᾳωμγ' 1843, κατὰ μῆνα Νοέμβριον."

Προτάσσεται (φ. α') προσαγόρευσις Πρὸς τὸν Ἀδριανουπόλεως Γρηγόριον καὶ τοὺς ἐντυγχάνοντας, καὶ (φ. β') ἀφιέρωσις πεζῇ καὶ στίχοι εἰς τὴν Γλυκοφιλοῦσαν.

Κοσμεῖται ὑπὸ κομψῶν ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων, προτάσσεται δὲ τοῦ ὅλου εἰκὼν τῆς Γλυκοφιλούσης διὰ μολυβδίδος.

*1985. 221. Χαρτ. φύλ. XIX.

1. Ἀκολουθία καὶ παράκλησις

εἰς Θεοδόσιον μητροπολίτην Τραπεζοῦντος καὶ Διονύσιον τὸν ἐν τῷ Ὀλύμπῳ τοὺς αὐταδέλφους, καὶ Συμεὼν τὸν Μονοχίτωνα, ἡγουμένους χρηματίσαντας τῆς μονῆς Φιλοθέου, καὶ εἰς τοὺς ὁσίους πατέρας Δαμιανὸν τὸν ὁσιομάρτυρα καὶ Δομέτιον τὸν ἡσυχαστήν.

Μετὰ τὴν ἀκολουθίαν τοῦ μικροῦ ἑσπερινοῦ "Στίχοι εἰς τοὺς πέντε θαυμαστοὺς ἁγίους." Ἐν τέλει δὲ τῆς ὅλης ἀκολουθίας· Εἴληφε τέρμα ἐν ἔτει σωτηρίῳ ᾳωμ' 1840.

Ὁ κῶδιξ κοσμεῖται ὑπὸ κομψῶν ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων.

2. "Λόγος ἐγκωμιαστικὸς μὲ συνοπτικὴν διήγησιν εἰς τοὺς ἱεροὺς προστάτας τῆς ἱερᾶς ἡμῶν ταύτης μονῆς Φιλοθέου."

1986. 222. Χαρτ. φύλ. XVI.

Μηναῖον Ἰανουαρίου.

Ἐν τέλει· Θεοῦ τὸ δῶρον καὶ Γεωργίου ἱερέος πόνος. Ἔτει ͵ζπγ' (=1575).

1987. 223. Χαρτ. 16. XVII.

Ἀκολουθία τοῦ ὄρθρου τοῦ μεγάλου Σαββάτου.

1988. 224. Χαρτ. 16. XIX.

Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ καὶ διάφοροι εὐχαί.

Ἐν τέλει· Ἐγράφθη διὰ χειρὸς τοῦ 1296, 844, 1404 κατὰ τῷ ᾳωιβ'. Νοεμβρίου κη' (=1812). Ὁποῖον τὸ ὑπὸ τοὺς κρυπτογραφικοὺς ἀριθμοὺς 1296, 844, 1404 κεκρυμμένον ὄνομα, οὐκ ἔστι σαφές. Πάντως δὲ τὸ ἄλλως ὅσον γ' ἐγὼ οἶδα ἄγνωστον πρὸς ἀπόκρυψιν τοῦ ὀνόματος τῶν βιβλιογράφων σύστημα τοῦτο φαίνεταί μοι ἐννοητέον οὕτως· ἕκαστος ἀριθμὸς δηλοῖ τὸ σύνολον τῶν παρὰ Βυζαντίνοις λεγομένων ψηφίων τοῦ ὀνόματος, οὑτωσί·

π = 80
ε' = 5
τ = 300
ρ = 100
ο = 70
υ = 400
955

Κατὰ ταῦτα δὲ ἡ εὕρεσις τῶν ὑπὸ τοὺς ἀριθμοὺς 1296, 844, 1404 κεκρυμμένων ὀνομάτων καθίσταται αἰνιγματώδους παιδιᾶς λύσις.

1989. 225. Χαρτ. 16. XV.

"Εὐχαὶ τοῦ **Φηκαρᾶ μοναχοῦ**" (= **Θηκαρᾶς**).

1990. 226. Χαρτ. 16. XV.

Εὐχαὶ εἰς μοναχούς.

1991. 227. Χαρτ. 16. XVI.

Ἀναστασιματάριον (ἀκέφαλον, κολοβόν).

1992. 228. Χαρτ. 16. XV.

Ὡρολόγιον καὶ Εὐχολόγιον (ἀκέφαλον).

1993. 229. Χαρτ. 16. XV.

1. Τριῴδιον (ἀκέφαλον).
2. Ἀκολουθία ἐνυπνιαζομένου.
3. Κανονάριον μετὰ πίνακος.
4. Εὐχαὶ διάφοροι.

1994. 230. Χαρτ. 16. XVI.

Προσκομιδὴ τῆς θείας λειτουργίας

μετά τινων εὐχῶν ἐν τέλει.

1995. 231. Βομβ. 16. XV.

Ψαλτήριον (ἀκέφαλον, κολοβόν).

1996. 232. Χαρτ. 16. XVII. (σ. 76).

1 (σ. 1). Εὐχαὶ τοῦ Λυχνικοῦ.

2 (σ. 37). Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

1997. 233. Χαρτ. 16. XVI.

"Ἀκολουθίαι ψαλλόμεναι ἐν τῇ σεβασμίᾳ λαύρᾳ

ἐν ταῖς λιτανίαις ἔξω τοῦ μοναστηρίου."

Περιέχονται αἱ ἀκολουθίαι τῆς Ὑπαπαντῆς, τοῦ Εὐαγγελισμοῦ, τῶν Βαΐων καὶ τῆς Β' τῆς Διακαινησίμου.

1998. 234. Χαρτ. 16. XVII.

1. Εὐχαί τινες (ἀκέφ.).
2. Διακονικὴ τάξις.
3. Τύποι ἐπιστολῶν.
4. Ἀποκάλυψις τῆς Παναγίας (κολοβ.).

1999. 235. Χαρτ. 16. XVI.

1. "Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ."
2. Εὐχαί τινες.
3. "Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου τοῦ Ἀθηναίου

τοῦ ἐν τῷ ὄρει τῆς Θράκης ἀσκήσαντος ἐκεῖθεν τῆς εἰσόδου Αἰθιοπίας τοῦ ἔθνους τῶν Χεταίων" ἐν τῇ καθωμιλημένῃ.

4. Εὐχαὶ διάφοροι.

2000. 236. Χαρτ. 16. XVI.

Ὡρολόγιον (ἀκέφαλον, κολοβόν).

2001. 237. Χαρτ. 16. XVI.

Κανόνες κτλ. τῆς ἀκολουθίας τοῦ Ὄρθρου.

Ἀκέφαλος καὶ κολοβός.

2002. 238. Χαρτ. 16. XV.

Ψαλτήριον (ἀκέφαλον, κολοβόν).

2003. 239. Χαρτ. 16. XV.
Ὡρολόγιον (ἀκέφαλον).

Ἐν τέλει· Ἐγράφη ἐν μηνὶ Μαρτίῳ ιγ' τοῦ ἔτους ,ϛ ϡ ϟα' (=1483) Νίμφου ἱερομονάχου τάχα καὶ ἀγνωρήτου...

2004. 240. Χαρτ. 16. XVI.
Ἀναστασιματάριον (ἀκέφ., κολοβ., τιλφόβρωτον).

2005. 241. Χαρτ. 16. XV.
Ὡρολόγιον (ἐλλιπές).

2006. 242. Χαρτ. 16. XVI.
1. Ἀκολουθία ἁγ. Κωνσταντίνου καὶ ἁγ. Ἑλένης.
2. Βίος τῶν αὐτῶν.

2007. 243. Χαρτ. 4. XVIII.
1. **Κοσμᾶ** καὶ **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Κανόνες.
2. **Βασιλείου τοῦ μεγάλου** καὶ **Γρηγορίου τοῦ Θεολόγου** Ὁμιλίαι τινές.

Ἅπαντα μετὰ διαστίχου ἐξηγήσεως.

2008. 244. Χαρτ. 8. XVI. (φ. 345).
1 (φ. 1 α). Ἐξομολογητάριον μετὰ κανόνων τῶν ἁγίων **συνόδων**, τῶν **Ἀποστόλων** καὶ τῶν **πατέρων**.

Ἐν τέλει· Ἐγράφη δὲ ἐν τῇ σεβασμίᾳ καὶ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου διὰ χειρὸς κἀμοῦ τοῦ ἁμαρτωλοῦ Ἀχιλλείου ἱερομονάχου καὶ καθηγουμένου τῆς αὐτῆς μονῆς ἐν μηνὶ Ἰουλλίῳ κγ' ἔτους ,ζπ' ἰνδ. ιε', ἀπὸ δὲ τῆς Χριστοῦ γεννήσεως ͵αφοβ' ἡμέρα δ' (=1572) ἐν τῷ νησίῳ τῆς Σωζωπόλεως.

2 (φ. 321 β). "**Στίχοι τοῦ** ἁγίου **Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως.**"

Ἀρχ. Ἄκουσον υἱὲ πατρικῶν διδαγμάτων.

3 (φ. 322 β). **Ἰωάννου τοῦ τῆς Κλίμακος.**

Ἀρχ. Ἐξωρήζεται ἀκουσίως Εὔα τοῦ παραδείσου.

4 (φ. 324 α). Περὶ ἐκκλησιαστικῶν ἐνδυμάτων.

"Περὶ τοῦ ὑπογονατίου," "Περὶ τοῦ σάκκου" κτλ.

5 (φ. 326 β). Τύποι ἐπιστολῶν, ἐνταλτηρίων, συστατικῶν κτλ. πρὸς ἱερωμένους.

6 (φ. 336 α). "Ἀκολουθία τῶν ἐγκαινίων."

2009. 245. Χαρτ. 8. XVIII. (σ. 268).
"**Θεοδώρου τοῦ Γαζῆ** Τὸ τέταρτον ἤτοι τὸ συντακτικὸν προσαυξηθὲν καὶ ἀναπληρωθὲν εἰς φράσιν ἁπλῆν."

2010. 246. Χαρτ. 16. XV. (φ. 157).
Ἐξομολογητάριον (κολοβόν).

2011. 247. Χαρτ. 16. XVI. (φ. 175).
Γραμματικοὶ κανόνες (ἀκέφαλοι).

Ἀρχ....τες. Ὁ κανών. Πᾶσα εὐθεῖα δυϊκῶν εἰς Ε λήγουσα. Τέλ. ἡ τετυψομένη, τῆς τετυψομένης, τοῦ τετυψομένου. Δόξα τῷ Θεῷ ἀμὴν ἀμήν.

Ἐν ἀρχῇ καὶ ἐν τέλει ἀνὰ ἓν φύλλον ξένον (Περγ. 8. XIII. σελ. 2) περιέχοντα κανόνας ἐκκλησιαστικούς.

2012. 248. Χαρτ. 16. XV. (φ. 312).
Ἀντωνίου μοναχοῦ Μέλισσα ἤτοι συλλογὴ διαφόρων **θεολογικῶν κεφαλαίων.**

Ὁ κῶδιξ ἀνεπίγραφος, ἀγράφου μένοντος τοῦ πρὸς ἐγγραφὴν τῆς ἐπιγραφῆς διὰ κινναβάρεως ἀφεθέντος κενοῦ χώρου. Περιέχονται δὲ κατὰ τὸν προτεταγμένον πίνακα τὰ ἑξῆς κεφάλαια, ὀλιγώτερα ὄντα καὶ διάφορα τὴν τάξιν τῶν παρὰ Migne CXXXVI, 765 κ. ἑ. "α'. Περὶ βίου ἀρετῆς καὶ [κακίας].—β'. Περὶ........ —γ'. Περὶ ἁγνείας καὶ [σωφροσύνης ;].—δ'. Περὶ ἀνδρείας καὶ [ἰσχύος].—ε'. Περὶ δικαιοσύνης.—ϛ'. Περὶ φίλων καὶ [φιλαδελφίας].—ζ'. Περὶ ἐλεημοσύνης.—η'. Περὶ εὐεργεσίας.—θ'. Περὶ ἀρχῆς.—ι'. Περὶ ψόγου καὶ δια[βολῆς].—ια'. Περὶ κολακείας.—ιβ'. Περὶ πλούτου καὶ πενίας καὶ φιλαργυρίας.—ιγ'. Περὶ αὐταρκείας.—ιδ'. Περὶ προσευχῆς.—ιε'. Περὶ διδαχῆς καὶ λόγων.—ιϛ'. Περὶ νουθεσίας.—ιζ'. Περὶ παιδείας καὶ φιλοσοφίας.—ιη'. Περὶ εὐτυχίας καὶ δυστυχίας.—ιθ'. Περὶ ὀργῆς καὶ θυμοῦ.—κ'. Περὶ σιωπῆς καὶ ἀπορρήτων.—κα'. Περὶ πολυπραγμοσύνης καὶ ἡσυχίας.—κβ'. Περὶ πλεονεξίας.—κγ'. Περὶ τιμῆς γονέων καὶ φιλοτεκνίας.—κδ'. Περὶ φόβου.—κε'. Περὶ τῶν ταχέως μεταβαλλομένων καὶ περὶ μετανοίας.—κϛ'. Περὶ ἁμαρτίας καὶ ἐξαγορεύσεως.—κζ'. Περὶ ἀκρασίας καὶ γαστριμαργίας.—κη'. Περὶ λύπης καὶ ἀθυμίας.—κθ'. Περὶ ὕπνου.—λ'. Περὶ μέθης.—λα'. Περὶ παρρησίας καὶ τοῦ ἐλέγχειν.—λβ'. Περὶ φιλοπονίας.—λγ'. Περὶ ὅρκου.—λδ'. Περὶ κενοδοξίας.—λε'. Περὶ ἀληθείας καὶ ψεύδους.—λϛ'. Περὶ θανάτου.—λζ'. Περὶ εἰρήνης καὶ πολέμου.—λη'. Περὶ ἐλπίδος.—λθ'. Περὶ γυναικῶν.—μ'. Περὶ ἀντιλογίας καὶ θρασύτητος καὶ ἔριδος.—μα'. Περὶ γήρως καὶ νεότητος.—μβ'. Περὶ ὑπομονῆς καὶ μακροθυμίας.—μγ'. Περὶ ἐπαίνου.—μδ'. Περὶ κάλλους.—με'. Περὶ τῆς μελλούσης κρίσεως.—μϛ'. Περὶ δόξης.—μζ'. Περὶ γλωσσαλγίας.—μη'. Περὶ προνοίας.—μθ'. Περὶ ταπεινοφροσύνης.—ν'. Περὶ ἰητρῶν.—να'. Περὶ πίστεως.—νβ'. Περὶ μνήμης.—νγ'. Περὶ ψυχῆς.—νδ'. Περὶ φθόνου.—νε'. Περὶ ἑκουσίου καὶ ἀκουσίου.—νϛ'. Περὶ τοῦ γνῶθι σαυτόν.—νζ'. Περὶ χρηστότητος.—νη'. Περὶ νόμου.—νθ'. Περὶ λογικοῦ καὶ λογισμοῦ.—ξ'. Περὶ ἀφροσύνης.—ξα'. Περὶ ἀσωτίας.—ξβ'. Περὶ συνηθείας καὶ ἔθους.—ξγ'. Περὶ εὐγενείας καὶ δυσγενείας.—ξδ'. Περὶ γέλωτος.—ξε'. Περὶ ἐνυπνίων.—ξϛ'. Περὶ ἀκακίας καὶ μνησικακίας.—ξζ'. Περὶ βίου ἀνωμαλίας.—ξη'. Περὶ τοῦ ὅτι δεῖ τιμᾶν ἀρετὴν καὶ κολάζειν κακίαν.—ξθ'. Περὶ τοῦ ὅτι εὔκολος ἡ κακία καὶ δυσπόριστος ἡ ἀρετή.—ο'. Περὶ φιλαυτίας.—οα'. Περὶ τοῦ ὅτι οὐκ ἀεὶ τὸ πλεῖον ἄριστον.

Ἐν τῷ πίνακι τούτῳ οἱ πλεῖστοι ἀριθμοὶ οἱ δηλοῦντες τὰ κεφάλαια καὶ τὸ ἀρχικὸν Π τῆς λέξεως Περί, κιρρὰ ὄντα, ἀπέβησαν μέχρις ἀφανείας ἀμυδρά, ἐξίτηλοι δ' ἐγένοντο λέξεις τινὲς τῶν ἐπιγραφῶν. Ἀπὸ δὲ φ. 229 β οὐδ' ἐγράφησαν ἀρχῆθεν ἐν τῷ κώδικι αἱ ἐπιγραφαὶ τῶν κεφαλαίων, τἀρχικὰ γράμματα καὶ τὰ ὀνόματα τῶν συγγραφέων ἐξ ὧν ἔλαβε τἀποφθέγματα ὁ Ἀντώνιος. Μεταξὺ δὲ τῶν κεφαλαίων ἑκάστων ἔμειναν ἑκάστοτε ἐν τῷ κώδικι φύλλα τινὰ ἄγραφα.

2013. 249. Βομβ. 8. XIV.
1. Ἀκέφαλον τέλος θεολογικῆς συγγραφῆς.

Εὕρηται τούτων ἐν τῳ ἀκεφάλῳ κώδικι μόνον τὸ ἑξῆς ἀνεπίγραφον τέλος·...καὶ τοῦτον ἀνοίξαντα εὑρίσκουσι τὸν φιλόσοφον καθήμενον καὶ τὴν χεῖρα μετὰ τοῦ γράμματος προτείνοντα, τῶν δὲ κληρικῶν βουλομένων τὸν χάρτην λαβεῖν οὐδεὶς τοῦτο ἴσχυσεν ἀποσπᾶσαι ἐκ

τῆς χειρὸς αὐτοῦ ἕως ἀνῆλθεν ἡ χεὶρ τοῦ ἐπισκόπου καὶ παραχρῆμα τὸν χάρτην ἐπιδοὺς ἀνέπεσε πάλιν· ὅν τινα χάρτην ἀνοίξας ὁ ἐπίσκοπος εὗρε νεοστὶ ἐπιγεγραμμένον τῇ χειρὶ τοῦ φιλοσόφου οὕτως· ἐγὼ Εὐάγριος ὁ φιλόσοφος σοὶ τῷ ὁσιωτάτῳ ἐπισκόπῳ χαίρειν.

2. **Τοῦ ἁγίου Μαξίμου** Λόγος ἀσκητικὸς κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

3. **Τοῦ αὐτοῦ** Ἀσκητικῶν κεφαλαίων ἑκατοντάδες δ'.

4. **Τοῦ αὐτοῦ** Κεφαλαιώδης λόγος περὶ θεολογίας.

5. "**Τοῦ αὐτοῦ** Ἕτερα κεφάλαια ἑκατόν."

6. "**Τοῦ αὐτοῦ** Κεφάλαια διάφορα θεολογικά."

7. **Διαδόχου Φωτικῆς** Κεφάλαια ρ'.

8. **Τοῦ μακαρίου Νείλου** Περὶ προσευχῆς κεφ. ρκγ'.

9. **Κασιανοῦ τοῦ Ῥωμαίου** Περὶ τῶν η' λογισμῶν.

10. Διάλεξις πατέρων περὶ ἀρετῶν.

11. "Ὅροι καὶ ὑπογραφαὶ ἐκ διαφόρων λόγων ἀπανθισθέντες."

Κατὰ τάξιν ἀλφαβητικήν. Ἀρχ. *Ἀγαθόν ἐστιν οὗ πάντα ἐφίεται.* Τέλ. *Ὠδή ἐστιν πνευματικὴ διδαχὴ κρυπτὴ κρυπτῆς προσευχῆς ὑπὸ ἀγγέλων τῇ ψυχῇ ἐνηχουμένη.*

12. **Τοῦ ἁγίου Νείλου** Περὶ τῶν η' τῆς κακίας λογισμῶν.

13. "Λόγοι ψυχωφελεῖς ἀπαρτισθέντες ἀπὸ τὸ γεροντικὸν βιβλίον."

14. Ἐκλογὴ γνωμῶν πατέρων, ἰδίως περὶ ἁγ. πνεύματος.

ΙΔ΄

ΚΩΔΙΚΕΣ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΤΗΣ ΜΟΝΗΣ ΕΣΦΙΓΜΕΝΟΥ

2014. 1. Περγ. 8. XIII.
Ἰωάννου τοῦ Σχολαστικοῦ *Κλίμαξ* (*ἀκέφ. κολοβ.*).

2015. 2. Περγ. 4. XII. (*φ.* 203).
Ἰωάννου τοῦ Σχολαστικοῦ *Κλίμαξ μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου.*

Ἐν φ. 191 β· Τέλος εἴληφεν ἡ θεῖα βίβλος αὕτη χειρὶ μοναχοῦ ἀθλίου Βασιλείου ἐν ἔτει ,ϛχκα΄ ἰνδ. ϛης ἐπὶ τῷ τριακοστῷ Γῳ (τὸ Γῳ διωρθωμένον δι' ἐρυθρᾶς βαφῆς ἐκ τοῦ τὸ πρῶτον γραφέντος α) ἔτη τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ Εἰρήνης αὐγούστης (=1113).

2016. 3. Περγ. 4. XII. (*φ.* 230).
1 (*φ.* 1 *α*). **Νείλου τοῦ μακαρίου** *Διδαχαί* (*ἀκέφ.*).

Ἀπὸ τῆς ι΄ (ἀκεφ.) μέχρι καὶ τῆς ιγ΄. Ἀρχ....διορθώσατε σφάλμα καὶ πρὸς εἰδωλολατρίαν ὕστερον ἐκμανεῖσιν τοῖς ἔπειτα ἐπιστρέψαι θύειν αὐτῷ.

2 (*φ.* 198 *α*). "**Ἐπικτήτου** *Ἐγχειρίδιος.*"

Ἀρχ. Τῶν ὄντων τὰ μεν ἔστιν ἐφ' ἡμῖν. Τέλ. ἀποκτεῖναι μέν τις δύναταί με, βλάψαι δὲ οὔ.

3 (*φ.* 209 *α*). **Νείλου τοῦ μακαρίου** *Ἐπιστολαί.*

Μέχρι καὶ τῆς ρα΄ (Διακόνῳ). Τέλ. (κολ.) ὅτι μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα...

2017. 4. Περγ. 4. XIII. (*φ.* 443).
1 (*φ.* 1 *α*). **Θεοδώρου τοῦ Βαλσαμῶνος** *Ἐξήγησις Κανόνων.*

"Ἐξήγησις τῶν ἱερῶν καὶ θείων κανόνων τῶν τε ἁγίων καὶ πανευφήμων **Ἀποστόλων** *καὶ τῶν ἱερῶν καὶ οἰκουμενικῶν* **συνόδων**, *ἀλλὰ μὴν καὶ τῶν τοπικῶν ἤτοι μερικῶν καὶ τῶν κανόνων τῶν ἁγίων πατέρων· πρὸς δὲ δήλωσις τῶν ἐνεργούντων νόμων καὶ μὴ ἐνεργούντων, τῶν ἀναταττομένων ἐν τοῖς δέκα πρὸς τοῖς δέκα πρὸς τοῖς τέτταρσι τίτλοις τοῖς κατ' ἄρθρον τῶν κανόνων κειμένοις, πονηθεῖσα κατὰ πρόσταξιν βασιλικὴν καὶ πατριαρχικὴν* **Θεοδώρῳ** *τῷ εὐτελεῖ διακόνῳ τῆς...μεγάλης ἐκκλησίας, νομοφύλακι, χαρτοφύλακι καὶ πρώτῳ τῶν Βλαχερνῶν τῷ* **Βαλσαμῶν**, *τῷ μετὰ χρόνους τινὰς γεγονότι καὶ πατριάρχῃ θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς."*

2 (*φ.* 52 *α*). **Ἰωάννου τοῦ Ζωναρᾶ** *Ἐξήγησις Κανόνων.*

"Ἐξήγησις τῶν ἱερῶν καὶ θείων κανόνων τῶν τε ἁγίων καὶ σεπτῶν **Ἀποστόλων** *καὶ τῶν ἱερῶν οἰκουμενικῶν* **συνόδων**, *ἀλλὰ μὴν καὶ τῶν τοπικῶν ἤτοι μερικῶν καὶ τῶν λοιπῶν ἁγίων* **πατέρων**, *πονηθεῖσα* **Ἰωάννῃ** *μοναχῷ τῷ* **Ζωναρᾷ** *τῷ γεγονότι μεγάλῳ δουγκαρίῳ τῆς βίγλας καὶ πρωτοασικρῆτις."*

Τὰ εἰς τὰς ὑπ' ἀρ. 1 καὶ 2 Ἐξηγήσεις παρεμβαλλόμενα κείμενα κανόνων εἰσὶ γεγραμμένα διὰ διαφόρων ἀποχρώσεων ἀπὸ τοῦ βαθέος πορφυροῦ μέχρι τοῦ ἰοειδοῦς καὶ τοῦ κιρροῦ.

3 (*φ.* 442 *α*). "*Πράξις προκαθεδρίας μητροπόλεων καὶ ἀρχιεπισκόπων τελούντων ὑπὸ τῶν ἀποστολικῶν θρόνων ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, καθὼς ἐν τοῖς κώδιξι τοῖς ἐν τῷ χαρτοφυλακίῳ ἀναγράφονται.*"

Ἐν φ. 441 β ἡ ἑξῆς σημείωσις· Ἔτους ,ζμβῳ ἔγινεν ἡ ἅλωσις τοῦ Ἐσφιγμένου ὑπὸ τῶν ἀθέων Ἀγαρηνῶν ἐν μηνὶ Ἰουνίῳ κζ΄ καὶ λαφυραγωγήσαντες τὰ τῆς μονῆς ἅπαντα καὶ τὴν ἐκκλησίαν ἀφανίσαντες καὶ τὰς ἁγίας εἰκόνας εἰς λεπτας σχίσαντες κατέκαυσαν καὶ τὸ κάτω μέρος τοῦ αἰγιαλοῦ ἐμπρύσαντες τελείως κατέκαυσαν τὰ κελλία καὶ λαβόντες τὰς πύλας τοῦ κάστρου καὶ τοῦ πύργου καὶ ἑπτὰ αἰχμαλώτους ὑπὸ τῶν μοναχῶν ἀνεχώρησαν, ὅθεν ἦλθον, καὶ οὕτως ἐγένετο ἡ ἐρήμωσις τῆς μονῆς, οἷς οἶδε κρίμασιν ὁ πάντα κυβερνῶν καὶ διεξάγων Θεός.

2018. 5. Περγ. φύλλ. X. (*φ.* 398).
Ἰωάννου τοῦ Χρυσοστόμου *Ὑπόμνημα εἰς τὰς Πράξεις τῶν Ἀποστόλων* (*ὁμιλ. α΄—νε΄*).

Ὁ κῶδιξ τῆς μικρᾶς γραφῆς (minusc.). Ἐν ἀρχῇ καὶ ἐν τέλει τρία φύλλα (Περγ. XII) περιέχοντα ἀποσπάσματα Ἀναγνωσμάτων προφητῶν καὶ Πραξαποστόλων.

2019. 6. Περγ. φύλλ. XI. σελ. 2. (*φ.* 257).
Ἰωάννου τοῦ Χρυσοστόμου *Ὑπόμνημα εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην.*

Ἀπὸ Ὁμιλ. ζ΄ (ἀκεφ.) μέχρι καὶ με΄ (κολοβ.).

2020. 7. Περγ. φύλλ. X.
1. **Ἰωάννου τοῦ Χρυσοστόμου** *Ὁμιλίαι.*

α΄ (φ. 1 α). Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν. Ὁμιλ. α΄—λγ΄.—β΄ (φ. 205 α). Λόγοι πρὸς Ἰουδαίους ε΄.

2 (φ. 247 α). "Γέννησις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας."

Ἀρχ. Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ ἦν τις Ἰωακεὶμ πλούσιος σφόδρα. Τέλ. (κολοβ.) καθὼς εἶπεν τὸ πνεῦμα τὸ ἅγιον δια νεφέλης ἀρπασθέντες εὑρέθησαν εἰς τὸν οἶκον τῆς ἁγίας δεσποίνης ἡμῶν τῆς Θεοτόκου καὶ ἀναστάντες ἐπὶ πέντε ἡμέρας...

2021. 8. Περγ. φύλλ. XI. σελ. 2. (φ. 220).

Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸν εὐαγγελιστὴν Ματθαῖον.

Ὁμιλ. ν' (ἀκέφ.)—ϛ' (κολοβ.). Ὁ κῶδιξ ἐφθαρμένος περὶ τὸ τέλος ὑφ' ὑγρασίας.

2022. 9. Περγ. φύλλ. XI. σελ. 2. (φ. 191).

Ἰωάννου τοῦ Χρυσοστόμου Εἰς τὴν βίβλον τῆς Γενέσεως.

Ὁμιλίαι λα', ὧν ἡ τελευταία κολοβή.

2023. 10. Περγ. φύλλ. X. σελ. 2. (φ. 313).

Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸν εὐαγγελιστὴν Ματθαῖον (Ὁμιλ. μδ').

Ὁ κῶδιξ τῆς μικρᾶς γραφῆς (*minusc.*). Ἐν ἀρχῇ καὶ ἐν τέλει ἀνὰ δύο φύλλα (Περγ. 4. VII) περιέχοντα μέρος Εὐαγγελίου.

2024. 11.

Περγ. φύλλ. μέγ. XI. σελ. 2. (φ. 264).

Ἰωάννου τοῦ Χρυσοστόμου Ὁμιλίαι.

α' (φ. 1 α). Οἱ ἓξ λόγοι περὶ ἱερωσύνης.—β' (φ. 47 α). Ἓξ λόγοι πρὸς Ἰουδαίους.—γ' (φ. 104 α). Εἰς τὸν πλούσιον Λάζαρον λόγοι ἕξ.—δ' (φ. 151 α). Εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν.—ε' (φ. 156 α). Εἰς τὸν Ὀζίαν καὶ τὸν Σεραφεὶμ λόγοι ε'.—ϛ' (φ. 179 α). Ἔπαινος τῶν ἀπαντησάντων ἐν τῇ ἐκκλησίᾳ.—ζ' (φ. 185 α). Περὶ τοῦ κατὰ Θεὸν πολιτεύεσθαι.—η' (φ. 191 α). Εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου Οὐχ ὃ θέλω ποιῶ.—θ' (φ. 204 α). Εἰς τὴν Ἄνναν λόγοι ε'.—ι' (φ. 238 α). Εἰς τὸ ῥητὸν τοῦ Εὐαγγελίου Ὅτι οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν.—ια' (φ. 245 α). Ὁμιλία περὶ πίστεως.—ιβ' (φ. 250 α). Περὶ ἁγίας Τριάδος.—ιγ' (φ. 257 β). Πρὸς τοὺς ἐγκαταλείψαντας τὴν σύναξιν. Τέλ. (κολοβ.). Συγκεχυμένων γὰρ ταῦτα τὰ ῥήματα ἀμφιβάλλειν...

2025. 12

Περγ. φύλλ. μέγ. XI. σελ. 2. (φ. 307).

Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην.

Ἀρχ. ἀπὸ Ὁμιλ. β' (ἀκεφ.) μᾶλλον δὲ καὶ σώματι καὶ ψυχῇ τὰ ἐνταῦθα λεγόμενα διαφέρει. Προτάσσεται (φ. 1 β 3 α) "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἰωάννου τοῦ Χρυσοστόμου** Ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην εὐαγγελίου τῶν ἠθικῶν ἡ δύναμις ἐν συντόμῳ." Ἐν φ. 3 β οἱ ἑξῆς στίχοι, γεγραμμένοι διὰ γραμμάτων τῆς μεγάλης γραφῆς·

Πόνοις μελισσῶν ἐγγλυκαίνεται λάρυγξ,
πόνοις δὲ τοι σοῖς καρδία πιαίνεται,
καὶ νοῦς νοητῇ λάμπεται φωταυγίᾳ,
Ἰωάννη, τὸ θαῦμα τῆς ἐκκλησίας,
ἴαμα πικρῶν δηγμάτων ἁμαρτίας,
παρηγόρημα τῶν κατωδυνωμένων,
ψυχῆς ἄφραστος ἡδονὴ, πόθου βίᾳ,
καὶ ταῦτα πιστοῖ ὁ σὸς λάτρης Ἠλίας
ὁ προσκεχηνὼς σοῦ πλέον χρυσοῖς λόγοις
ἢ πρὸς τροφὴν τὰ τέκνα τῶν χελιδόνων.

2026. 13.

Περγ. φύλλ. μέγ. X. σελ. 2. (φ. 346).

Ἰωάννου τοῦ Χρυσοστόμου Ὁμιλίαι εἰς τὴν Ἑξαήμερον ξζ'.

Ἐν φ. 2 α πίναξ τῆς βίβλου γραφείσης ἐπὶ Θεοδώρου τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἡγουμένου διὰ Ἰωάννου μοναχοῦ καὶ ἁμαρτωλοῦ. Κατὰ τὸν πίνακα τοῦτον εἵποντο ταῖς εἰς τὴν Ἑξαήμερον ὁμιλίαις α' **Ἀθανασίου Ἀλεξανδρείας** "Περὶ τῆς ἐν Βηρυττῷ εἰκόνος," β' **Γρηγορίου Νύσσης** Εἰς τὴν εὕρεσιν τῆς ἁγίας ἀχράντου ἀχειροποιήτου Καμουλιανῶν κτλ., ἀλλ' οἱ δύο οὗτοι λόγοι οὐχ εὕρηνται νῦν ἐν τῷ κώδικι, ἴσως δ' οὐδ' ἐγράφησαν ἀρχῆθεν πλὴν ἢ ἐν τῷ πίνακι.

Ἐν φ. 346 β· Ἐτελειώθη ἡ βίβλος αὕτη συνεργείᾳ Κυρίου δια χειρὸς Ἰωάννου μοναχοῦ καὶ ἁμαρτωλοῦ μηνὴ Μαρτίῳ ὀγδόη ἡμέρα τετάρτῃ ὥρᾳ ἑβδόμῃ ἔτους ἑξακισχιλιοστοῦ τετρακοσιοστοῦ τεσσαρακοστοῦ πέμπτου...(=937).

***2027.** 14.

Περγ. φύλλ. XI. σελ. 2. (φ. 452).

1 (φ. 3 α). "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου."

Ἀρχ. Συμεώνην τὸν πάνυ τὸ μέγα θαῦμα τῆς οἰκουμένης ἴσασι μὲν πάντες οἱ τῆς Ῥωμαίων ἡγεμονίας ὑπήκοοι, ἔδραμε δὲ καὶ μέχρι Σκυθῶν νομάδων τῇ φήμῃ. Τέλ. θεότητος εἰσδεχόμενος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πᾶσα δόξα τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

2 (φ. 53 α). "Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Εὐσταθίου καὶ τῆς συνοδίας αὐτοῦ."

Ἀρχ. Τραϊανοῦ τὰ Ῥωμαίων σκῆπτρα διέποντος καὶ τῆς εἰδωλικῆς λήσσης τὴν οἰκουμένην πᾶσαν ἐπιδραμούσης, Εὐστάθιος ὁ μέγας ἄρχων τῶν στρατιωτικῶν ἐγνωρίζετο καταλόγων. Τέλ. δοξάζοντες πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον τὴν μίαν θεότητά τε καὶ βασιλείαν, ᾗ πρέπει πᾶσα δόξα τιμὴ κράτος μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

3 (φ. 91 α). "Ὑπόμνημα καὶ ἐξήγησις τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Ἀρτεμίου συνταχθὲν παρὰ **Ἰωάννου μοναχοῦ τοῦ Ῥοδίου**."

Ἀρχ. Τῆς εἰδωλολατρείας τῇ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν χάριτι καταπαυθήσης καὶ τῆς τῶν δαιμόνων ἀπάτης κατασβεσθήσης. Τέλ. καὶ τοῦ καλλινίκου αὐτοῦ μάρτυρος Ἀρτεμίου δοξάζοντας καὶ εὐλογοῦντας Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

4 (φ. 137 α). "Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρέθα καὶ τῶν σὺν αὐτῷ ἀθλησάντων ἁγίων μαρτύρων καὶ ἱστορία τῶν κατὰ Χριστῷ τότε πραχθέντων."

Ἀρχ. Ἔτος μὲν ἤδη πέμπτον ἐνειστήκει τῷ εὐσεβεῖ Ἰουστίνῳ τῆς Ῥωμαίων ἀρχῆς τῶν σκήπτρων ἐπειλημμένῳ. Τέλ. οὕτως ἀσκήσας, οὕτω τελευτᾷ τὸν βίον

ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

5 (φ. 176 α). "Βίος καὶ πολιτεία τοῦ ὁσίου ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου τοῦ νέου."

Ἀρχ. Θεῖον τι χρῆμα ἡ ἀρετὴ καὶ πολλῶν ἀξία τῶν ἐγκωμίων. Τέλ. ᾗ καὶ ἡμεῖς παρασταίημεν εὐχαῖς αὐτοῦ καὶ πρεσβείαις διὰ τῆς τοῦ Χριστοῦ χάριτος καὶ τῶν οἰκτιρμῶν, ᾧ πρέπει δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

6 (φ. 259 α). Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας.

Ἀρχ. (ἀκέφ.)...ρες δὲ τὰ μὲν εἰς γένος τῶν εὖ γεγονότων, οὐσίαν δὲ αὐτάρκη καὶ ὅση μὴ περιττὴ κεκτημένοι. Τέλ. καὶ τὴν προτέραν τιμὴν τῇ δευτέρᾳ διαδεξάμενον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ καὶ ἀγαθῷ πνεύματι δόξα κράτος τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Ἐν ἀρχῇ τοῦ βίου τούτου λείπουσι δύο φύλλα, ὧν τὸ μὲν περιεῖχε τὴν ἐπιγραφὴν καὶ τὴν ἀρχὴν τοῦ βίου, τὸ δὲ τὰς εἰς τὸν βίον ἀναγομένας εἰκόνας.

7 (φ. 295 α). "Μαρτύριον τῶν ἁγίων καὶ πανενδόξων τοῦ Χριστοῦ μαρτύρων Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου."

Ἀρχ. Κατὰ τὴν ἐπὶ γῆς τοῦ Χριστοῦ παρουσίαν πολλοὶ μὲν καὶ ἄλλοι πρὸς ἀγῶνας τοὺς μαρτυρικοὺς ἀπεδύσαντο. Τέλ. φύλακας μὲν τῆς πόλεως, σωτῆρας δὲ τῶν πλεόντων καὶ τῶν ἐν συμφοραῖς καὶ νόσοις ἀψευδὲς παραμύθιον εἰς δόξαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

8 (φ. 344 α). "Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Εὐστρατίου καὶ τῆς συνοδίας αὐτοῦ Αὐξεντίου, Εὐγενίου, Μαρδίου καὶ Ὀρέστου."

Ἀρχ. Βασιλεύοντος Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ πᾶσα ἡ τῶν Ῥωμαίων ἀρχὴ τῆς ἀθέου τῶν εἰδώλων ἐπεπλήρωτο λατρείας. Τέλ. ἅπαντα τὰ ἐν τῇ διαθήκῃ προσταχθέντα ὑπὸ τοῦ ἁγίου μάρτυρος ἐποίησεν εἰς δόξαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

9 (φ. 385 α). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Εἰς τὴν Χριστοῦ γέννησιν.

10 (φ. 420 α). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν μακάριον Φιλογόνιον.

11 (φ. 437 α). **Γρηγορίου τοῦ Θεολόγου** Εἰς τὸ γενέθλιον τοῦ Ἰησοῦ.

Ἀρχ. Χριστὸς γεννᾶται· δοξάσατε.

Ἐν φ. 452 α γέγραπται ἡ ἑξῆς σημείωσις· Ἐπὶ ἔτους τοῦ τρέχοντος ,ζμα^ου^ ἰνδ. ϛ^ης^ ἐγένετο ἀνάλωσις τοῦ μοναστηρίου τοῦ Ἐσφιγμένου μηνὶ Ἡουνήῳ εἰς τὰς κϛ' ἡμέρα ε^η^ τοῦ ὁσίου πατρὸς ἡμῶν Δαβὶδ τοῦ ἐν Θεσσαλονίκῃ· ἔτι καὶ εἰς δέκα ἡμέρας αὖθις ἀνηλώθη δεύτερον παρὰ τοῖς Ἄγαρ ἀπογώνους, τοὺς μιαροὺς καὶ ἀντιχρίστους. Ἔλαβον ἅπαντα καὶ τὸ μοναστήριν ἐνέπρισαν σὺν τὰ πλοία καὶ ἐννέα μοναχοὺς ἀπήγαγον εἰς αἰχμαλωσίαν. Ἔτυχεν τότες ὁ κῦρ Ἀκάκιος ὁ ἐκ τῆς μονῆς τοῦ Κωχλυάρᾶ καὶ ἐξώνισεν ἀπὸ βιβλία τοῦ μοναστηρίου ἀπὸ τοὺς Ἀγαρηνούς, μικρᾶ καὶ μεγάλα ρ' καὶ μερικὰ χρυσόβουλα. Ζουναράδες δύο· νομοκανῶνοι δύο· Ψαλτήρια γ'· μεταφραστάδαις δ'· Ἀπόστολον καὶ Πραξαπόστολον· Εὐαγγέλοια καὶ κατὰ Ματθαῖον καὶ Ἰωάννην ε'· πανηγυροικᾶ τρία, Σεπτέβριος, Ὀκτώβριος, Ἰανουάριος, Φευρουάριος· Ἐξαήμερος· παρακλητικᾶ δύο· εὐχολόγιον· κλίμακοι ε'· Θεωτοκάρι· Χρυσωστομικᾶ· Τελώνην καὶ Φαρισαῖον· κατήχησαις δύο· τοῦ Χρυσωστόμου ἐξήγησις ταῖς πράξαις τῶν ἁγίων Ἀποστόλων· τετραευάγγελα ἐξηγημένα γ'· μηνολόγι· γεροντικῶ· συναξάριον Μάρτιος· τριῴδια δύο· πεντικοστάρην· πατερικῶ· Λαυσαϊκᾶ δύο· Ἰσὰκ τοῦ Σύρου δύο· Χρυσοστωμικᾶ δ'. Ὀρολόγι· περιόδῆ Ἰωάννου τοῦ Θεολόγου· Θεολόγους δύο· πανηγυρικὸν μεγα μὲ ἱστορίαις· παράδισος Ἰωάννου τοῦ Δαμασκηνοῦ· τὰ μηναῖα Σεπτέβριος α', Δεκέβριος δύο, Ἰουανουἄριος α', Ἀπρίλιος, Ἰούνιος α', Μάϊος δύο, Φευρουἄριος μετὰ τὸν Μάρτιον· Εὐαγγέλια δύο· ἐπιστολῆ πρὸς Σεραπίωνα· λειτουργία α'. Ταῦτα τὰ βιβλία ἐξωνίσατο ὁ προρηθεὶς κῦρ Ἀκάκιος καὶ δέδωκεν αὐτὰ εἰς τοῦ Σφιγμένου τὸ μοναστῆριν καὶ ὁπίος αὐτὰ ὑστερήσι ἀπὸ τὸ μοναστῆριν νὰ ἔχει Χριστὸν τὸν Θεὸν ἀντίδικον ἐν ημέρᾳ τῆς κρίσεως καὶ τὸ ἀνάθεμα αἰώνιον καὶ τὸ Πορεύεσθαι ἀπ εμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτιμασμένον τὸ διαβόλῳ ἀμὴν ἀμὴν ἀμήν.

Ὁ κῶδιξ κοσμεῖται ὑπὸ πολλῶν εἰκόνων, ὧν τινες ἀπεκόπησαν, καὶ δή, κατὰ τὰ λεγόμενα, ὑπὸ Μηνᾶ τοῦ Μηνοΐδου (Κωνσταντίνου τοῦ Σιμωνίδου ; Ἴδ. 643 (96)). Τὸ φ. 1 ἐστὶ κεχρωσμένον βαθυκύανον καὶ περιέχει ἐν ἰδίοις πλαισίοις διὰ χρυσῶν ἢ λευκῶν γραμμάτων τὸν πίνακα τῶν περιεχομένων.—Τὸ φ. 2 ἐστὶ πορφυροῦν καὶ περιέχει τέσσαρας εἰκόνας, ἀναφερομένας εἰς τὸν βίον Συμεὼν τοῦ στυλίτου. Ἴδ. τὸ ἕτερον ἥμισυ (φ. 2 β) ἀπεικονισμένον διὰ φωτοτυπίας παρὰ Heinrich Brockhaus *Die Kunst in den Athosklöstern*. Leipzig, 1891, ἐν πίνακι 26.—Ἐν φ. 3 α ἐπίτιτλον κόσμημα καὶ ἰδιόρρυθμον ἀρχικὸν γράμμα.—Τὸ φ. 52 ἐστὶ πορφυροῦν καὶ περιέχει τέσσαρας εἰκόνας, ἀναφερομένας εἰς τὸ μαρτύριον τοῦ ἁγίου Εὐσταθίου.—Ἐν φ. 53 α ἰδιόρρυθμον ἀρχικὸν Τ.—Τὸ φ. 90 ἐστὶ πορφυροῦν καὶ περιέχει τέσσαρας εἰκόνας ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου Ἀρτεμίου.—Ἐν φ. 91 α ἐπίτιτλον κόσμημα καὶ ἀξιόλογον ἰδιόρρυθμον ἀρχικὸν Τ.—Τὸ φ. 136 ἐστὶ πορφυροῦν καὶ περιέχει τέσσαρας εἰκόνας ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου Ὀρέστου.—Ἐν φ. 137 α ἐπίτιτλον κόσμημα καὶ ἀρχικὸν Ε.—Ἐν φ. 176 α ἐπίτιτλον κόσμημα καὶ ἀρχικὸν Θ.—Τὸ φ. 294 ἐστὶ πορφυροῦν καὶ περιέχει ἓξ εἰκόνας ἐκ τοῦ βίου τῶν μαρτύρων Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου.—Ἐν φ. 295 α ἐπίτιτλον κόσμημα καὶ ἰδιόρρυθμον ἀρχικὸν Μ.—Τὸ φ. 343 ἄχρωστον μεῖναν περιέχει τέσσαρας εἰκόνας ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου Εὐστρατίου.—Ἐν φ. 344 α ἐπίτιτλον κόσμημα καὶ ἀξιόλογον ἰδιόρρυθμον Β.—Τὸ φ. 384 ἐστὶ πορφυροῦν καὶ περιέχει τέσσαρας εἰκόνας ἀναφερομένας εἰς τὸν λόγον Ἰωάννου τοῦ Δαμασκηνοῦ εἰς τὴν γέννησιν τοῦ Χριστοῦ· τὸ δὲ κείμενον τοῦ αὐτοῦ λόγου (φ. 385—420) κοσμεῖται ὑπὸ ἐπιτίτλου μὲν ἐν ἀρχῇ, ἑξήκοντα δὲ καὶ πέντε εἰκόνων μεγάλων καὶ μικρῶν, ὧν αἱ ἐν φ. 390 α, 395 β, 406 α, 409 α καὶ 419 α ἀποκεκομμέναι.—Ἐν φ. 420 α καὶ 437 α ἐπίτιτλα καὶ ἀρχικὰ γράμματα.

Ἴδ. περιγραφὴν βραχεῖαν τῶν εἰκόνων τοῦ κώδικος καὶ παρὰ Brockhaus ἔνθ' ἀν. σ. 228 κ. ἑ.

2028. 15. Περγ. φύλλ. XI. σελ. 2. (φ. 266).
Βίοι καὶ μαρτύρια ἁγίων Ὀκτωβρίου ιβ—λʹ.
Ἀκέφαλος καὶ κολοβός.

2029. 16. Περγ. φύλλ. XI. σελ. 2. (φ. 252).
Βίοι καὶ μαρτύρια ἁγίων Ὀκτωβρίου αʹ—λαʹ.
Ὁ τελευταῖος βίος, ὁ τοῦ ἁγίου Ἐπιμάχου, μένει κολοβός.

2030. 17. Περγ. φύλλ. XI. σελ. 2. (φ. 208).
1 (φ. 1 α). Βίος τοῦ ἀποστόλου Μάρκου (ἀκέφ.).

2 (φ. 6 β). **Γρηγορίου τοῦ Διαλόγου** Ἐπιστολὴ πρὸς Λεόντα τὸν Ἴσαυρον περὶ τῶν ἁγίων εἰκόνων.

3 (φ. 9 α). **Ἀνδρέου Κρήτης** Εἰς τὸν Εὐαγγελισμόν.

4 (φ. 19 α). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν Εὐαγγελισμόν. Ἀρχ. Πάλιν χαρᾶς εὐαγγέλια.

5 (φ. 22 α). **Γρηγορίου τοῦ Θαυματουργοῦ** Εἰς τὸν Εὐαγγελισμόν.

6 (φ. 25 α). "Λόγος εἰς τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ."
Ἀρχ. Τὸν Σταυρὸν ἐπαινῶν ὁμολογουμένως τὸν σταυρωθέντα τιμῶ.

7 (φ. 31 α). "**Τοῦ αὐτοῦ** Λόγος εἰς τὰ Βαΐα."
Ἀρχ. Χθὲς ἡμᾶς μετὰ τοῦ δεσπότου Λάζαρος εἱστιάσατο.

8 (φ. 44 β). "Ὁμιλία εἰς τὸν μυστικὸν δεῖπνον τοῦ Σωτῆρος."
Ἀρχ. Ὀλίγα ἀνάγκη σήμερον πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν.

9 (φ. 57 α). **Γρηγορίου Ἀντιοχείας** Εἰς τὴν θεόσωμον ταφήν.

10 (φ. 64 β). **Ἰωάννου Θεσσαλονίκης** Εἰς τὴν τριήμερον ἀνάστασιν τοῦ Σωτῆρος.

11 (φ. 76 β). **Γεωργίου Καισαρείας** Εἰς τοὺς τιηʹ πατέρας.

12 (φ. 86 β). **Ἰωάννου τοῦ Χρυσοστόμου** Ἐγκώμιον εἰς τοὺς ἁγίους Πάντας.

13 (φ. 93 β). **Θεοδώρου τοῦ Στουδίτου** Εἰς τὸ γενέσιον τοῦ Προδρόμου.

14 (φ. 100 α). "Ἐγκώμιον εἰς τοὺς ἁγίους κορυφαίους ἀποστόλους Πέτρον καὶ Παῦλον συντεθὲν παρὰ **Θεοφιλοπόνου**(;) μαγίστρου ἐκ διαφόρων λόγων **Ἰωάννου τοῦ... Χρυσοστόμου.**"
Ἀρχ. Ἅπας μὲν ἐγκωμίων νόμος καὶ λόγος ἅπας τέχνῃ ῥητόρων συντεθειμένος.

15 (φ. 116 β). "**Ἰωάννου μοναχοῦ** Ὑπόμνημα εἰς τὸν προφήτην Ἠλίαν."

16 (φ. 127 β). **Ἀνδρέου Κρήτης** Εἰς τὴν Μεταμόρφωσιν.

17 (φ. 140 β). **Τοῦ αὐτοῦ** Εἰς τὴν Κοίμησιν.
Ἀρχ. Καλεῖ πάντας ὁ παρὼν λόγος.

18 (φ. 149 β). **Τοῦ αὐτοῦ** Εἰς τὴν Κοίμησιν.
Ἀρχ. Μυστήριον ἡ παροῦσα πανήγυρις.

19 (φ. 158 α). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Εἰς τὴν Κοίμησιν.

20 (φ. 169 α). **Ἀνδρέου Κρήτης** Εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου.

21 (φ. 184 β). **Γερμανοῦ Κωνσταντινουπόλεως** Εἰς τὴν προσκύνησιν τῆς τιμίας ζώνης τῆς Θεοτόκου.

22 (φ. 190 α). "**Εὐθυμίου μοναχοῦ** Εἰς τὴν προσκύνησιν τῆς τιμίας ζώνης τῆς ὑπεραγίας Θεοτόκου καὶ εἰς τὸν ἐγκαινισμὸν τοῦ αὐτῆς ναοῦ τῆς ἁγίας Σωροῦ τῶν Χαλκοπρατείων."
Ἀρχ. Πρόκειται σήμερον ἡμῖν εἰς προσκύνησιν καὶ πνευματικὴν ἑστίασιν, ὢ καθαρόν μοι ἀκροατήριον.

23 (φ. 197 β). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν Ἀνάληψιν.
Ἀρχ. Καὶ ὅτε Σταυροῦ μνήμην ἐπιτελοῦμεν.

2031. 18. Περγ. φύλλ. XII. (φ. 111).
1 (φ. 1 α). Κεφάλαια νηπτικά (ἀκέφ.).
Κεφ. ιζʹ. Περὶ ἀνεξικακίας.—Κεφ. ιηʹ. Περὶ ἀγάπης.—Κεφ. ιθʹ. Περὶ διορατικῶν.

2 (φ. 42 β). **Παλλαδίου** Λαυσαϊκὴ ἱστορία.

*2032. 19. Περγ. φύλλ. XI. σελ. 2. (φ. 205).
Εὐαγγέλιον
μετὰ σημαδοφώνων ἐρυθρῶν. Κοσμεῖται ὑπὸ ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων πολλῶν τε καὶ κομψῶν καὶ ἐπιγραφῶν χρυσῶν. Περιέχονται δ' ἐν αὐτῷ καὶ αἱ ἑξῆς εἰκόνες· 1 (φ. 1 β) Ὁ εὐαγγελιστὴς Ἰωάννης ὄρθιος, εὐλογούμενος ὑπὸ τῆς θείας χειρὸς, παρ' αὐτῷ δὲ ὁ Πρόχορος γράφων· 2 (φ. 47 β) Ὁ ἅγ. Ματθαῖος· 3 (φ. 71 β) Ὁ ἅγ. Λουκᾶς· 4 (φ. 102 β) Ὁ ἅγ. Μάρκος.

*2033. 20. Περγ. φύλλ. XI. σελ. 2. (φ. 296).
Εὐαγγέλιον
μετὰ σημαδοφώνων ἐρυθρῶν. Ἐν ἀρχῇ τῶν εὐαγγελίων ἑκάστων ἐπίτιτλα καὶ ἀρχικὰ γράμματα.

2034. 21.
Περγ. 4. μέγ. XII. σελ. 2. (φ. 242).
Εὐαγγέλιον
μετὰ σημαδοφώνων ἐρυθρῶν.

*2035. 22.
Περγ. 4. μέγ. XII. σελ. 2. (φ. 220).
Εὐαγγέλιον
μετὰ σημαδοφώνων κιρρῶν. Ἐν ἀρχῇ τῶν εὐαγγελίων ἐπίτιτλα ἀνάξια λόγου καὶ ἀρχικὰ γράμματα.

2036. 23. Περγ. 4. XI. σελ. 2. (φ. 230).
Εὐαγγέλιον
μετὰ σημαδοφώνων ὑπερύθρων.
Ἐν φ. 229 β μεταγενεστέρᾳ χειρὶ συμβόλαιον Ἰωάννου Βουτζᾶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου καὶ Μιχαὴλ Κομπῆ μετὰ τῆς συζύγου αὐτοῦ Μαρίας περὶ μισθώσεως τοῦ μυλῶνος τῆς μονῆς Θεοτόκου τῆς Τζηντζηλουκιωτίσσης "μηνὶ Ἰανουαρίῳ ἰνδ. βʹ ἔτους ,ϛωβʹ."
Ἐν φ. 230 α (ἐπὶ παραφύλλου χαρτ.)· Ἐτοῦτο τὸ εὐαγγελίων το ἀγόρασεν ὁ παπὰ Ἀργυρὸς ἀπὸ τοὺς προσάνικους τοῦ παπὰ Κῦρκου ὁ υἱὸς ἀπὸ ἕναν Ἀγαρινὸν ὅταν ἔγηνεν ἱ εχμαλοσία εἰς τὰς Σέρρας τὸν κερῶν ὁπο ἐπαρτὴν ἱ αρμάδα τὸν Τουρκὸν εἰς τον Ἔπακτον

καὶ ἐδουκεν ἄσπρα ἑκατὸν...ἐν ἔτους ,ζοη' καιρὸν Χριστοῦ ᾳφο'.

*2037. 24. Περγ. 4. XII. σελ. 2. (φ. 193).

Εὐαγγέλιον

μετὰ σημαδοφώνων ἐρυθρῶν καὶ ἀτεχνοτάτων ἀρχικῶν γραμμάτων.

*2038. 25. Περγ. 4. XII. σελ. 2. (φ. 273).

Τετραευάγγελον.

Προτάσσονται ἐν κακοτέχνοις ἀψῖσιν οἱ κανόνες τῆς συμφωνίας τῶν εὐαγγελίων καὶ ἡ τοῦ **Εὐσεβίου** *Ἐπιστολὴ πρὸς Καρπιανὸν, γεγραμμένη ὅλη δι' ἐρυθρῶν γραμμάτων. Ἐν τέλει διάφοροι πίνακες καὶ μηνολόγιον τῶν εὐαγγελίων.*

Ἐν φ. 257 α ἐρυθροβαφεῖς Στίχοι εἰς τὴν βίβλον, ὧν τὸ τέλος·

Ὡς γοῦν ἄχραντον ἱεράν τε καὶ θεῖαν
ἔγωγε Λέων ὁ Χθαμαλὸς ζεούσῃ
ψυχῇ καὶ γνώμῃ ταύτην ἐπὲκτησάμην,
τὰ ἔσω τε καὶ ἔξω καθωραΐσας
υἱῷ φιλτάτῳ καὶ ἐμοὶ Βασιλείῳ
ταύτην δωροῦμαι φιλοτίμως καὶ νέμω
εἰς σκέπην, εἰς φρούρησιν, εἰς σωτηρίαν
αὐτοῦ καὶ συντήρησιν εἰς πάντας αἰῶνας.
Ἔβδομον δ' ἦγεν ὁ αἰὼν τότε ἔτος
καὶ τριακοστὸν ἑξακοσιοστόν τε
καὶ χιλιάδας ἓξ προδιηνυσμένας, (= ,ϛχλζ' = 1129)
ὅτε δακτύλοις Θεοδώρου ἐξύσθη
ἀλητροῦ εὐτελοὺς τε καὶ ἐλαχίστου
εἰς δόξαν πατρὸς υἱοῦ τε καὶ τοῦ θείου
πνεύματος ἅμα καὶ ψυχὴν σωτηρίαν
Λέοντος λαμπροῦ τοῦ καὶ κτήτορος αὐτῆς.

Οἱ στίχοι οὗτοι ἐδημοσιεύθησαν μετά τινων διαφορῶν καὶ ἐν τῷ περιοδικῷ συγγράμματι Αἰγιναίᾳ, ἀρ. Β', 15 Ἀπριλίου 1831, *σ.* 66.

Ὁ κῶδιξ κοσμεῖται ὑπὸ ἐπιτίτλων καὶ ἐρυθρῶν ἀρχικῶν γραμμάτων.

2039. 26. Περγ. 4. XIV. σελ. 2.

Τετραευάγγελον

ἀκέφαλον καὶ κολοβὸν, κατὰ μέγα μέρος ἐν τῇ ἀρχῇ ἐφθαρμένον ὑφ' ὑγρασίας.

*†2040. 27. Περγ. 4. XIV. (φ. 175).

Τετραευάγγελον.

Προτάσσονται "Τάξις καὶ ἀκολουθία τῆς τῶν ἀποστόλων ἀναγνώσεως," **Εὐσεβίου** *Ἐπιστολὴ πρὸς Καρπιανὸν καὶ Μηνολόγιον τῶν εὐαγγελίων. Ἐν δὲ φ. 168 β κ. ἑ. εὕρηται Πίναξ τῶν κατὰ Κυριακὰς εὐαγγελίων. Ἐν φ. 174 α· Ἐτελειώθη τὸ παρὼν τετραβάγγελον δια χειρὸς Θεοδώρου ἱερέως καὶ εὐτελοῦς ἐξ ἐπιτροπῆς κῦρ Βαρνάβα ἱερομονάχου τοῦ ἐπίκλην Ὀγωνικὰ, βασιλεύοντος κῦρ Ἀλεξίου τοῦ μεγάλου Κομνηνοῦ ἔτος ,ϛωιθ' ἰνδ. [θ'] (=1311) καὶ οἱ ἀναγινώσκωντες...*

Τὸ *φ.* 175 *σύγκειται ἐκ δύο φύλλων ἀνεπτυγμένων* (Περγ. 8. XIII), *περιεχόντων μέρος Ψαλτηρίου.*

Ἐν φ. 13 β εὕρηται εἰκὼν ἀτεχνοτάτη, παριστῶσα τοὺς τέσσαρας Εὐαγγελιστὰς, ἅπαντας καθημένους καὶ γράφοντας, ἐστραμμένους δὲ δεξιά. Ἔστι δ' ἡ εἰκὼν λίαν ἐφθαρμένη.

Ὁ κῶδιξ ὅλος σύγκειται ἐκ φύλλων παλιμψήστων, ἀνηκόντων πάντων εἰς ἕνα καὶ τὸν αὐτὸν παλαιὸν κώδικα. Ἔστι δ' ἡ ὑποκειμένη γραφὴ (VI. *σελ.* 2) *ἀμυδροτάτη καὶ ἀφανὴς, ἀλλὰ, καθ' ὅσον διακρίνεται, φαίνεται, ὅτι ὁ πρωτόγραφος κῶδιξ ἦν Εὐαγγέλιον. Ἰδίως δὲ διακρίνεται ἡ παλαιὰ γραφὴ ἐν φ.* 120 *α καὶ* 120 *β.*

Ἴδ. ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ. *Περὶ τῶν παλιμψήστων κωδίκων τῶν ἁγιορειτικῶν βιβλιοθηκῶν. Ἀθήνησι* 1888 *σ.* 13 *κ. ἑ.*

2041. 28. Περγ. 8. XIV.

Εὐαγγέλιον (ἐλλιπὲς περὶ τὸ μέσον).

2042. 29. Περγ. 8. XIII. (σελ. 2).

Τετραευάγγελον.

*2043. 30. Περγ. 8. XIV.

Τετραευάγγελον.

Ἐν ἀρχῇ ἑκάστου τῶν Εὐαγγελιστῶν ἐπίτιτλον φέρον τὸ σύμβολον τοῦ Εὐαγγελιστοῦ καὶ ἀρχικὸν γράμμα.

2044. 31. Περγ. 16. XII.

Τετραευάγγελον (ἀκέφαλον, κολοβόν).

2045. 32. Περγ. XII.

Βασιλείου τοῦ μεγάλου Λειτουργία (ἀκέφαλος).

Εἰλητάριον μήκους μ. 6,70, *πλάτους* 0,21, *πλάτους ἐν τῷ γεγραμμένῳ μέρει* 0,095.

2046. 33. Περγ. XIV.

Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία (ἀκέφαλος).

Εἰλητάριον μήκους μ. 3,65, *πλάτους* 0,21, *πλάτους ἐν τῷ γεγραμμένῳ μέρει* 0,135.

Ἐν τέλει· Καλλίνικος μοναχός.

*2047. 34. Περγ. XIV.

1. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία.

Κοσμεῖται ὑπὸ ἐπιτίτλου ἐν ἀρχῇ ἀξιολόγου, ἁπλῶς πολυχρώμου ἄνευ χρυσογραφίας, ἔχει δὲ καὶ ἀρχικὰ γράμματα ἰδιόρρυθμα καὶ λόγου ἄξια, ἰδίως τὰ Ο *καὶ ἓν* Μ, *σχηματιζόμενον ὑπ' ἀετοῦ ἔχοντας ἀνεωγμένας τὰς πτέρυγας. Ἐν τέλει τῆς λειτουργίας δι' ἐρυθρῶν γραμμάτων· Ἔτει ,ϛωιδ' ἰνδ. δ' μηνὶ Ἰουλίῳ* (=1306).

2. "Ἀπόστολος καὶ εὐαγγέλια εἰς πάσας τὰς ἑορτὰς τῆς Θεοτόκου."

3. "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Βασιλείου τοῦ μεγάλου** Νουθεσία πρὸς τοὺς ἱερεῖς."

Εἰλητάριον μήκους μ. 4,45, *πλάτους* 0,215, *πλάτους ἐν τῷ γεγραμμένῳ μέρει* 0,105.

2048. 35. Περγ. Χαρτ. 8. XIV. XVI.

Εὐαγγέλιον (κολοβόν).

Ἡ περγαμηνὴ (XIV. *σελ.* 2) *καὶ ὁ χάρτης* (XVI) *ἀναμίξ.*

2049. 36. Περγ. φύλλ. XIV. σελ. 2.

Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην.

Ὁμιλ. νϛ' (ἀκεφ.) μέχρι καὶ πε' (κολοβ.). Τὰ τελευταῖα τῶν σῳζομένων φύλλων ἐφθαρμένα.

2050. 37. Περγ. φύλλ. X. σελ. 2.

Ἰωάννου τοῦ Χρυσοστόμου Ὁμιλίαι εἰς τὴν Ἑξαήμερον.

Ὁμιλ. ιγ' (ἀκέφ.) μέχρι καὶ κ' (κολοβ.). Ὁ κῶδιξ τῆς μικρᾶς γραφῆς (minusc.).

2051. 38. Περγ. φύλλ. XI.

[**Εὐθυμίου Ζιγαδηνοῦ**] Ἑρμηνεία εἰς τὸ Εὐαγγέλιον.

Τελευτᾷ διὰ τῆς εἰς τὸν Ματθαῖον ἑρμηνείας οὕτω·

Ἕως τῆς συντελείας τοῦ αἰῶνος. Τοῦτο δείκνυσιν ὅτι οὐ μόνον μετὰ τῶν τηνικαῦτα Ματθαῖος ἀλλὰ καὶ μετὰ τῶν μετ' αὐτούς ἐστιν· οὐ γὰρ ἕως τῆς συντελείας τοῦ αἰῶνος οἱ ἀπόστολοι μένειν ἔμελλον, ἀλλὰ διὰ τῶν τότε καὶ τοῖς μετὰ ταῦτα τὴν τοιαύτην ἐπὶγγείλατο χάριν ὡς ἑνὶ σώματι διαλεγόμενος πᾶσι τοῖς πιστοῖς, οὐκ αὐτίκα δὲ εἰς τὸν οὐρανὸν ἀνελήφθη, ἀλλὰ μετὰ καιρόν τινα ὡς ἀπὸ τῶν ἄλλων εὐαγγελιστῶν ἔξεστι διαγινώσκειν· καὶ γὰρ ἀπὸ τῆς ἀναστάσεως αὐτοῦ μέχρι τῆς ἀναλήψεως δια τεσσαράκοντα ἡμερῶν ἦν ὀπτανόμενος τοῖς μαθηταῖς καὶ συναυλιζόμενος· εἶτα ἀπὸ τοῦ ἐν Ἰουδαίᾳ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος ἀνελήφθη καθῶς ἡ βίβλος τῶν ἀποστολικῶν πράξεων διέξεισιν· εἴη δὲ ἡμῖν ἀξίως τοῦ εὐαγγελίου καὶ δογματίζουσι καὶ πολιτευομένοις καὶ τελειουμένοις τυχεῖν καὶ τῆς διὰ τοῦ εὐαγγελίου ἐπηγγελμένης βασιλείας τοῖς τελείοις χάριτι τοῦ παντελείου βασιλέως Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ᾧ πρέπει δόξα καὶ προσκύνησις ἅμα τῷ ἀνάρχῳ καὶ ἀϊδίῳ πατρὶ καὶ τῷ συνανάρχῳ καὶ συναϊδίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

***2052.** 39. Περγ. φύλλ. XI. σελ. 2 (φ. 129).

Γρηγορίου τοῦ Θεολόγου Οἱ ιϛʹ ἀναγινωσκόμενοι λόγοι.

Πρῶτος ὁ θʹ (ἀκέφ.) Εἰς τὸν μέγαν Βασίλειον, τελευταῖος ὁ ιϛʹ Εἰς τὸν πατέρα σιωπῶντα.

Ἐν φ. 129 β· Κύριε βοήθει τῷ σῷ δούλῳ Βασιλείῳ μοναχῷ.

Κατά τινα ἐν φύλλῳ χαρτῴῳ μετὰ τὸ φ. 1 ἐγγεγραμμένην μεταγενεστέραν σημείωσιν ὁ κῶδιξ διεφθάρη κατὰ τὴν ὑπὸ τῶν Τούρκων ἅλωσιν τοῦ Ἐσφιγμένου (1533;), διὸ εἰς τοὺς ͵αψιθʹ (=1719) προεστευοντος καὶ κυβερνόντος σὺν Θεῷ ἁγίῳ τὸ παρὸν μοναστήριον τοῦ πανιερωτάτου μητροπολίτου πρώην Μελενίκου κυρίου Γρηγορίου διὰ προσταγῆς τοῦ πανοσιωτάτου παπᾶ κὺρ Ἡσαΐου δικαίου ἐσταχοδέθη ὑπὸ Γρηγορίου.

Κοσμεῖται ἐν ἀρχῇ ἑκάστης ὁμιλίας ὑπὸ μικρῶν ἐπιτίτλων καὶ ἀρχικοῦ γράμματος.

2053. 40.

Περγ. φύλλ. XIV. σελ. 2. (φ. 254).

Γρηγορίου τοῦ Θεολόγου Οἱ ιϛʹ ἀναγινωσκόμενοι λόγοι.

2054. 41. Περγ. φύλλ. XIII. σελ. 2. (φ. 337).

1. **Γρηγορίου τοῦ Θεολόγου Οἱ** ιϛʹ ἀναγινωσκόμενοι λόγοι.

Τούτων ὁ αʹ (εἰς τὸ Πάσχα καὶ τὴν βραδυτῆτα) ἀκέφαλος. Τοῦ κειμένου τῶν λόγων ἀναγράφεται ἑκάστοτε βραχὺ μέρος, ᾧ ἕπεται πυκνότερον γεγραμμένη μακρὰ ἑρμηνεία.

Ἀρχὴ τῆς ἑρμηνείας εἰς τὸν πρῶτον τῶν σῳζομένων ἀπ' ἀρχῆς λόγων, τὸν Εἰς τὴν καινὴν Κυριακήν· Τῆς πανηγυρικῆς ἰδέας καὶ οὗτος ὁ λόγος ἐστίν· κέκραται δέ πως καὶ τῷ συμβουλευτικῷ παραίνεσιν ἔχων καὶ πρὸς μὲν τὸ καλὸν προτροπήν, πρὸς δὲ τὸ φαῦλον ἀποτροπήν· καινὴ δὲ ἡ ἡμέρα Κυριακὴ ὀνομάζεται ἤτι διὰ τὸ ἐν ταύτῃ ἐγκαίνια ἄγεσθαι ἢ καὶ διὰ τὸ τύπον εἶναι τῆς ὀγδόης ἐκείνης ἐν ᾗ πάντα καινὰ μέλλουσι γίνεσθαι.

Τέλος τῆς ἑρμηνείας εἰς τὸν λόγον Εἰς τὸν πατέρα σιωπῶντα· Καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς, ἡ μὲν κάτω τὸν πρόσκαιρον καὶ σῶμα τρέφοντα, ὁ δὲ χοῦς ἡμῶν εἴτουν ἡ σὰρξ τὸν αἰώνιον καὶ τῇ ψυχῇ κατάλληλον, τουτέστι τὴν ἀρετήν, ἣν τοῖς θείοις θησαυροῖς ἐναποθησόμεθα διὰ σοῦ προσαγωγέως καὶ ἡμᾶς καὶ τὰ ἡμέτερα προσάγοντος τῷ Θεῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

2. "Τὸ ἶσον τῆς διαθήκης τοῦ ἁγίου **Γρηγορίου τοῦ Θεολόγου.**"

2055. 42. Περγ. Χαρτ. φύλλ. XIV. σελ. 2.

Ἀντιόχου τοῦ μοναχοῦ

1. Ἐπιστολὴ πρὸς Εὐστάθιον ἡγούμενον μονῆς Ἀτταλίνης (ἀκέφ. καὶ ἀνεπίγραφος). 2. "**Τοῦ αὐτοῦ Ἀντιόχου** Πρόλογος." 3. "**Τοῦ αὐτοῦ Ἀντιόχου** Πρὸς τὸν αὐτὸν Εὐστάθιον Κεφάλαια διάφορα καὶ Προσευχὴ ἐξομολογήσεως."

Περιέχονται μόνον αἱ ὁμιλίαι μέχρι τῆς ρκηʹ Περὶ τῆς εἰς Θεὸν ἀγάπης, τοῦ κώδικος ὄντος κολοβοῦ. Ἔστι δὲ καὶ περὶ τὸ μέσον πολλαχῶς ἐλλιπὴς ὁ κῶδιξ, ἰδίως μεταξὺ τῶν ὁμιλιῶν ιʹ καὶ νʹ.

2056. 43. Περγ. φύλλ. XI. σελ. 2. (φ. 280).

Ἐφραὶμ τοῦ Σύρου Λόγοι κατηχητικοὶ καὶ παραινέσεις.

2057. 44. Περγ. φύλλ. XII.

1. **Ἀντωνίου μοναχοῦ**(;) Βίος ἁγίου (ἀκέφ. ἀνεπίγρ.).

Ἀρχ. ...ὅθεν οὐδὲ βωτάνη ἀνήρχετω ἐν τὸ τόπῳ ἐκήνῳ· κατα συγκυρίαν δὲ γήνεται ἠσελθῆν ξύλων ἐν τὸ ὀφθαλμῷ τοῦ δράκωντος. Περὶ τὸ τέλος· ἐγὼ οὖν ὁ **ταπηνὸς καὶ ἐλάχηστος Ἀντόνιος** ἠσῶ ἰδυνήθη καταλαβέσθαι ἐκ μέρους ἔγραψα τὴν ἠστορήαν ταύτην...

2. **Ἀνδρέου Κρήτης** Εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ.

3. Μαρτύριον ἁγίου Εὐσταθίου.

4. "Περηοδυ τοῦ ἁγίου ἀποστόλου Θωμᾶ."

Ἀρχ. Κατ εκίνων τὸν κερῶν ἤμεν πάντες οἱ Ἀπόστολοι ἐν Ἱερωσωλοίμοις Σήμων ὁ λεγόμενος Πέτρος. Τέλ. ἔσται ὑμὴν αὔτη ἡ εὐχαριστήα ἠς εὐσπλαγχνίαν καὶ ἔλεως ἠς δόξαν τοῦ Θεοῦ καὶ σωτίρως ἡμῶν ὃ πρέπη πᾶσα δόξα τημὴ καὶ προσκύνησης νῦν καὶ ἀει καὶ ἠς τοὺς ἀτελευτήτους ἐώνας τῶν εώνων ἀμήν.

5. Βίος ἁγίου **Δημητρίου** καὶ θαύματα.

αʹ. Βίος τοῦ ἁγίου (ἀκέφ.).—βʹ. "Ἕτερον θαύμα τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου περη τοῦ τραγοδοῦ θαύματος."—γʹ. "Ἕτερον θαύμα περη τὸν ἀπὸσταλέντον ἀγγέλων τὸ μεγαλομάρτυρι Δημητρίο."—δʹ. "Ἕτερον θαύμα τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου περὶ Κυπριανοῦ τοῦ ἐπησκόπου."

6. Βίος τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ.

7. Μαρτύριον τοῦ ἁγίου Μηνᾶ.

8. Πρᾶξις καὶ μαρτύριον τοῦ ἁγ. ἀποστόλου Φιλίππου.

9. "Γένησης καὶ ἀνατροφὴ τῆς ἁγίας Θεοτόκου συγγραφήσα ὑπὸ **Ἰακόβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου.**"

10. **Ἀνδρέου Κρήτης** Ἐγκώμιον εἰς τὸν ἅγ. Νικόλαον.

11. **Γρηγορίου τοῦ Θεολόγου** Εἰς τὴν γέννησιν τοῦ Χριστοῦ.

12. Περὶ τῆς ἀνακομιδῆς τοῦ λειψάνου τοῦ πρωτομάρτυρος Στεφάνου.

13. "Θαύματα τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλίου. Παιρὴ τοῦ Εβρέου του θεορήσαντος τὰ μυστήρια τῆς ἁγίας δορεᾶς..."

14. Μαρτύριον τῶν ἁγίων Κηρύκου καὶ Ἰουλίττης.

15. Μαρτύριον Θεοδώρου τοῦ στρατηλάτου.

2058. 45. Περγ. φύλλ. XII. (φ. 248).

1 (φ. 1 α). Σειρὰ κατηχήσεων πατέρων ἀνωνύμων.

Εἰσὶ τεταγμέναι κατὰ τὰς ἡμέρας τῆς ἑβδομάδος πρὸς τὸ ἀναγινώσκεσθαι ἐπ' ἐκκλησίας, καὶ δὴ ἀπὸ τῆς κη ἑβδομάδος τοῦ ἔτους. Κεφ. σλγ'—τξη'.

Ἐν φ. 202 α· "*Συνελέγη ἡ παροῦσα αὕτη βίβλος ἐκ τῶν θεοπνεύστων διδασκαλιῶν τῶν ἁγίων πατέρων ἡμῶν* **Θεοδώρου τοῦ Στουδίτου, Ἐφραὶμ, Δωροθέου, Μακαρίου, Νείλου καὶ τῶν λοιπῶν** *καὶ προσετέθη εἰς τὸ καθ ἑκάστην ἐπ' ἐκκλησίας μετὰ τὴν πρώτην ὥραν ἀναγινώσκεσθαι παρὰ τοῦ τῆς μονῆς προεστῶτος ἢ τοῦ ἐκκλησιάρχου ἢ ὃν οὗτος προκρίνει εἰς κατήχησιν καὶ ὠφέλειαν πάσης τῆς ἀδελφότητος ἐν ἔτει τῷ ,ϛχιε'* (=1107) *ἐπὶ τῆς βασιλείας κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ πατριάρχου τοῦ κυροῦ Νικολάου καὶ ἡγουμενείας τοῦ μοναχοῦ κῦρ Σωφρονίου μονῆς τοῦ Φιλανθρώπου.*"

Εἰς τὸ τέλος τοῦ ἄνω σημειώματος ἀναφερόμενος ἔγραψεν ἐν τῇ ὤᾳ τῷ 1873 *ὁ Νεῖλος Πενταπόλεως τὰ ἑξῆς·* "*Ἐν τῷ* II *τόμῳ σελὶς* 324 *τῶν ἐκδοθέντων συνοδικῶν πρακτικῶν ὑπὸ τοῦ Μίκλοσχ* (Miklosich) *εὕρηται πατριαρχικὴ πρᾶξις ἀναφέρουσα σεβ. μονὴν τὴν εἰς ὄνομα τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικεκλημένην τοῦ Φιλανθρώπου, πρᾶξις ἐκδοθεῖσα τῷ* 1399 *κατὰ τοῦ Ἀλεξίου Καβαλλάρι, ἐξαιτήσαντος ἀκύρωσιν ἀφιερωθέντος κτήματος τῇ εἰρημένῃ μονῇ, ἀποκαταστηθέντος εἰς κάθισμα, καὶ ἑτέρα πρᾶξις* 610, *σελ.* 443 *μέμνηται περὶ ἑτέρου καθίσματος, τὸ ἀνωτέρω, ὡς οἶμαι, τοῦ Φιλανθρωπηνοῦ τοῦ φιλανθρώπου Χριστοῦ. Ἐκ τῶν ἀνωτέρω οὖν πράξεων εἰκάζεται ἢ ὅτι ἑτέρα ἐλέγετο μονὴ τοῦ Φιλανθρώπου ἐν ᾗ ἐγεγράφη ἡ παροῦσα βίβλος ἢ ὅτι εἴθισται καλεῖσθαι τὰς εἰς ὄνομα τιμωμένας μονὰς τῆς Ἀναλήψεως "τοῦ Φιλανθρώπου," καὶ τότε ἐγεγράφη αὕτη ἐν τῷ κοινοβίῳ Ἐσφιγμένου.*"

2 (φ. 202 β). "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν

πατρὸς Παϊσίου τοῦ μεγάλου συγγραφεὶς παρὰ τοῦ ὁσίου **Ἰωάννου μοναχοῦ τοῦ Κολοβοῦ.**"

Ἀρχ. *Ὥσπερ τὰ τερπνὰ τοῦ βίου καίπερ ὄντα τρεπτὰ καὶ λυόμενα οἶδε τοὺς θελγομένους αὐτοῖς ἐφελκῦσαι πρὸς ἔρωτα.* Τέλ. *ἐμοῦ δὲ τῇ μετριότητι ἐκ τῶν πολλῶν ὀλίγα ταῦτα εἴρηται εἰς δόξαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.*

3 (φ. 244 β). "Διήγημα ψυχωφελές."

Ἀρχ. *Μοναχός τις ὀνόματι Ἀββακοὺμ ἐξηγήσατό μοι ἐν Ταμιάθῃ τῆς Αἰγύπτου.* Τέλ. (κολοβ.) *καὶ ἔκρυψα ἐν ἑτέρῳ τόπῳ ἐπιχορηγῶν ἑκάστης ἡμέρας τῷ ἀθλίῳ ἄρχοντι ἀπὸ τῶν κουρευ...*

2059. 46. Περγ. 4. XII (;). σελ. 2. (φ. 197).

Ἀναγνώσματα λεγόμενα εἰς τὰς ἀκολουθίας τοῦ ὅλου ἐνιαυτοῦ.

Ἐν τέλει· *Τέλος σὺν Θεῷ τῆς Γενεσοπαροιμίας.*

2060. 47. Περγ. 4. XIII. (φ. 166).

1 (φ. 1 α). **Ἰωάννου τοῦ Σχολαστικοῦ** Κλίμαξ μετὰ τοῦ πρὸς τὸν Ποιμένα λόγου.

Ἄρχεται ἀπὸ τοῦ α' λόγου (ἀκεφάλου).

2 (φ. 141 α). Βίος Μαρίας τῆς Αἰγυπτίας.

3 (φ. 157 β). **Παλλαδίου** Κεφάλαια τῶν πρὸς Λαῦσον.

(φ. 157 β). "*Περὶ Παύλου τοῦ ἁπλοῦ.*"—(φ. 160 β). "*Περὶ παρθένου τῆς ἐν Ἀλεξανδρείᾳ.*"—(φ. 161 α). "*Περὶ Εὐαγρίου.*"—(φ. 163 β). "*Περὶ Πατερμουθίου.*"

4 (φ. 166 β). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Περὶ τῶν ἐν πίστει κεκοιμημένων.

Σῴζεται μόνον ἡ ἀρχὴ, τοῦ κώδικος μένοντος κολοβοῦ.

2061. 48. Περγ. 4. XIII. (φ. 203).

Γεροντικὸν καὶ πατερικόν (ἀκέφαλον, κολοβόν).

2062. 49. Περγ. 4. XII. (φ. 151).

Γρηγορίου Νύσσης Ὁμιλίαι.

α' (φ. 3 α). "*Εἰς τὸ Τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα.*"—β' (φ. 16 β). "*Ἐπιστολὴ μηνύουσα τὰ ὑποτεταγμένα ἅτινά ἐστι προτροπὴ εἰς τὸν κατ' ἀρετὴν βίον. Περὶ παρθενίας.*"—γ' (φ. 69 α). "*Πρὸς Ὀλύμπιον ἀσκητὴν...εἰς τὸ ἅγιον Πάσχα ἤτοι περὶ τῆς τριημέρου ταφῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.*"—δ' (φ. 81 α). "*Πρὸς Καισάριον μοναχὸν περὶ τελειότητος ἤτοι ἀρετῆς, ἐν ᾧ ἱστορεῖται καὶ ὁ τοῦ Μωϋσέως βίος.*" Τέλ. (κολοβ.) *οὐ μὴν ἐπειδὴ τούτου διήμαρτεν ὁ τῆς κακίας.*

Ἐν ἀρχῇ δύο φύλλα (Περγ. XII. σελ. 2). Ἀρχ.... *ἡμῖν καὶ πραγμάτων ποικίλων διαφορὰς, ἀλλ' οὐχὶ περιγραφὰς καὶ πέρατα καὶ διαδοχάς.* Τέλ. *εἶτ' εἰς ἄκρον καταψυχθὲν ὅλον δι' ὅλου παγῇ θραβομένου τοῦ νέφους ἢ χιὼν καταφέρεται καὶ ὅλως κατὰ τὸν αὐτὸν λόγον ἔξεστί σοι ὁρᾶν πᾶσαν τοῦ ὑγροῦ τὴν φύσιν.*

2063. 50. Περγ. 4. X.

Γεροντικόν (ἀκέφαλον, κολοβόν).

2064. 51. Περγ. 8. μέγ. XIII. (φ. 117).

Νηπτικὰ κεφάλαια (ἀκέφ. κολοβ.).

Κεφ. θ' (ἀκέφ.)—ϛδ' (κολοβ.). "ι'. *Εἰς τοὺς ἁγίους πάντας. Ὅτι οὐχ' οἱ δι αἵματος μόνοι μάρτυρες, ἀλλὰ καὶ οἱ διὰ βίου ἐνθέου πολιτευόμενοι.*"—"ια'. *Κυριακῇ α'. Διδασκαλία περὶ εἰρήνης.*"—..."ιγ'. *Περὶ μνήμης θανάτου.*"—"ιδ'. *Μετὰ τὴν μνήμην τοῦ ἁγίου Θεοδώρου περὶ τῆς ἐνθέου ἡμῶν πολιτείας.*"—..."ϛγ'. *Περὶ τῶν ἐν ταῖς ἡδοναῖς τῆς σαρκὸς δελεασθέντων.*"—"ϛδ' *Περὶ τῶν νομιζομένων δυσχερῶν ἐν τῷ κοινοβιακῷ βίῳ.*"—*Ἅπαντα τὰ κεφάλαια ἄρχονται διὰ τῶν λέξεων "Ἀδελφοὶ καὶ πατέρες."*

Ὁ κῶδιξ πολλαχῶς ἐφθαρμένος.

2065. 52. Περγ. 8. μέγ. XIII. (φ. 255).

Στιχηράριον (κολοβόν)

περιέχον πάντα τὰ στιχηρὰ τοῦ ἐνιαυτοῦ μετὰ φωνῶν.

2066. 53. Περγ. 8. μέγ. XIV.

Στιχηράριον (κολοβόν)

μετὰ φωνῶν. Τὰ πρῶτα δέκα φύλλα ἐκπεσόντα ἀντικατεστάθησαν ὑπὸ ἄλλων (Χαρτ. XVI).

2067. 54. Περγ. 8. XIV. (φ. 140).
Εἱρμολόγιον (ἀκέφαλον).

Μετὰ φωνῶν ἐρυθρῶν. Ἐν τέλει φύλλον (Περγ. XIV. σελ. 2) ἀποκεκομμένον ἐξ Εὐαγγελίου.

2068. 55. Περγ. 8 μέγ. XIV. (φ. 184).
Μηναῖον Σεπτεμβρίου.

Ἐν φ. 183 α· Ἐγράφη ἐν ἔτει ͵ϛωκγ′ ἰνδ. [ιγ′] μηνὶ Ἰουνίῳ ιβ′ (=1315) διὰ χειρὸς Μάρκου ἀμονάχου καὶ τάχα ἱερέως ἐξ επιταγῆς τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ καθηγουμένου κῦρ Ματθαίου μοναχοῦ.

2069. 56. Περγ. 8 μέγ. XIV. (φ. 200).
Μηναῖον Νοεμβρίου.

Ἐν τέλει· Ἐγράφη ἐν ἔτει ͵ϛωκδ′ ἰνδ. ιδ′ μηνὶ Ἀπριλλίῳ (=1316) τελεσθὲν διὰ χειρὸς Μάρκου ἱερομονάχου.

Τὰ φύλλα 179—190 ἐκπεσόντα ἀντικατεστάθησαν ὑπὸ ἄλλων (Χαρτ. XVI).

2070. 57. Περγ. 8 μέγ. XIV. (φ. 262).
Μηναῖον Δεκεμβρίου.

Ἐν τέλει· Ἐγράφη ἐν ἔτει ϛωκδ′ ἰνδ. ιδ′ μηνὶ Δεκεμβρίῳ κη′ (=1315) τελεσθὲν διὰ χειρὸς καὶ ἐξόδου Μάρκου ἁμαρτωλοῦ ἱερομονάχου.

2071. 58. Περγ. 8 μέγ. XIV. (φ. 165).
Μηναῖον Αὐγούστου.

Ἐν φ. 162 α· Ἐγράφη ἐν ἔτει ͵ϛωκδ′ ἰνδ. ιδ′ μηνὶ Φευρουαρίῳ δ′ (=1316) τελεσθὲν διὰ χειρὸς Μάρκου ἀμονάχου καὶ τάχα ἱερέος. Καὶ κατωτέρω· Ἐτελειώθησαν τὰ παρόντα μηνέα οἷα Αὔγουστος Σεπτεύριος Ὀκτώβριος Νοέμβριος Δεκέμβριος διὰ χειρὸς κόπου καὶ ἐξόδου κάμοῦ Μάρκου ἁμαρτωλοῦ ἱερομονάχου ἀφιεροθὲν εἰς τὴν ἁγίαν βασιλικὴν μονὴν τοῦ σωτῆρός μου Χριστοῦ τοῦ Ἐσφιγμένου καὶ οἱ αναγινώστες εὔχεσθέ μοι δια τὸν Κύριον.

Τὰ τελευταῖα τρία φύλλα (163—165) εἰσὶ ξένα (VII αἰῶν.), γεγραμμένα διὰ γραφῆς μεγάλης (uncialis), ἐπικλινοῦς πρὸς τἀριστερὰ τῷ ἀναγινώσκοντι καὶ φερούσης τόνους καὶ πνεύματα. Περιέχουσι δ' ἀποσπάσματα θεολογικῆς συγγραφῆς, ἧς ἡ ἀρχή· ...ρίας τῷ νοῒ δὲ αὐτοῦ ἐμπεζων ὅτι τοῦ Ἰούδα ἐστίν, ἣν δὲ ὁ Ἰουδαῖος ἐκεῖνος μέγας νομοδιδάσκαλος Τιβεριάδος καὶ ἔλεγεν τί μεγαλύνουσιν οἱ Χριστιανοὶ τὴν Μαρίαν· θυγάτηρ ἐστὶν τοῦ Δαβὶδ καὶ οὐ Θεοτόκος· γυνὴ γάρ ἐστιν. Ἡ Μαρία γὰρ θυγάτηρ ἐστὶν τοῦ Ἀχειμ, μητρὸς δὲ Ἄννης. Ἰαχειμ δὲ υἱὸς ἐστὶν τοῦ Πανθῆρος. Πανθὴρ δὲ υἱὸς ἐστὶν τοῦ Μελχὶ ὡς ἔχει ἡ παράδωσις ἡμῶν τῶν Ἰουδαίων...Καὶ κατωτέρω· Καὶ Ἰὼβ λέγει· ζῇ Κύριος ὁ οὕτω με κρίνας καὶ ὁ παντοκράτωρ ὁ παραπικράνας μου τὴν ψυχὴν καὶ πνεῦμα θεῖον τὸ περιὸν ἐνρήσιν μου Κύριον καὶ παντοκράτορα ...Καὶ κατωτέρω· Ἀποκρίνονται πάντες οἱ ἐκ περιτομῆς κράζοντες καὶ λέγοντες· ὄντως αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ζωῆς καὶ πάντες οἱ κρατούντες αὐτὴν εἰς ζωὴν ἀπελεύσονται, οἱ δὲ καταλειπόντες αὐτὴν εἰς θάνατον καὶ κόλασιν ἀτελεύτητον...Τέλ. Ὄντως γὰρ ἐν ἀληθείᾳ κωφὸς καὶ οἱ πάντες ἀσθενὴς ψυχῆς καὶ σώματι καὶ αἱ γλῶσσαι τῶν ἀνθρώπων αἱ ψελλίζουσαι αἳ ὤμνοιον κατα τῶν ματαίων εἰδώλων ποτὲ ἔμαθον λαλεῖν εἰρήνην τὰ περὶ Χριστοῦ. Χριστὸς γὰρ εἰρήνη ἐστὶν καὶ σωτηρία τοῖς πιστεύουσιν εἰς αὐτόν. Φησὶν γὰρ ὁ Θεὸς διὰ Ἡσαΐου περὶ τῶν πιστῶν...

2072. 59. Περγ. 8. XIII.
Πεντηκοστάριον (κολοβόν).

2073. 60. Περγ. 8. XIII.
Εὐαγγέλιον (ἀκέφαλον, κολοβὸν, ἐλλιπές).

Ἡ τάξις τῶν φύλλων συγκεχυμένη.

2074. 61. Περγ. 8. XI.
Μηναῖον Μαΐου (ἀκέφαλον, κολοβόν).

2075. 62. Περγ. 8. XIII.

1. **Συμεὼν τοῦ νέου Θεολόγου** Λόγοι καὶ κεφάλαια (ἀκέφ.).

α′. Ἐρωτήσεις καὶ ἀποκρίσεις (ἀκέφ.). Ἀρχ. Τίς ἦν ἐν τῷ κόσμῳ πρὸ τοῦ κόσμου; Ἀπόκρ. Ὁ Θεὸς ὁ τὸν κόσμον ποιήσας.—β′. "Κεφάλαια γνωστικὰ θεολογικὰ καὶ πρακτικὰ τοῦ αὐτοῦ ἁγίου πατρὸς **Θεολόγου Συμεών**."—γ′. "Περὶ τῶν εἰδῶν τῶν διαφόρων πειρασμῶν."—δ′. "Λόγος περὶ σιωπῆς καὶ ἡσυχίας."—ε′. "Περὶ τοῦ πῶς δεῖ ψάλλειν ἀσυγχύτως."—ϛ′. "Ἐκ τῆς συγγραφῆς τοῦ ὁσίου πατρὸς ἡμῶν **Συμεὼν τοῦ νέου Θεολόγου** Περὶ γνώσεως πνευματικῆς."

2. **Βασιλείου τοῦ μεγάλου** Λόγος εἰς τὸ Πρόσεχε σεαυτῷ.

2076. 63. Περγ. 8. XIII. (φ. 194).
Πραξαπόστολος

μετὰ σχολίων ἀραιῶν ἐν τῇ ᾤᾳ, εἰς ἃ ἀναφέρονται παραπομπαὶ ἐκ τοῦ κειμένου δι' ἰδίων σημείων.

*2077. 64. Περγ. 8 μέγ. XIII.
Πραξαπόστολος (κολοβός).

Κοσμεῖται ὑπὸ ἰδιορρύθμων εἰκόνων τῶν ἀποστόλων Λουκᾶ (ἐφθαρμένης), Ἰακώβου, Πέτρου, Ἰωάννου τοῦ Θεολόγου, Ἰούδα καὶ Παύλου.

*2078. 65. Περγ. 8. XIV.
Πραξαπόστολος.

Κοσμεῖται ὑπὸ ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων.

2079. 66. Περγ. 8 μικρ. XII.
Πραξαπόστολος.

2080. 67. Περγ. 16. XIII.
Πραξαπόστολος.

Προτάσσεται "Δήλωσις ἀκριβὴς τῶν καθ' ἑκάστην ἡμέραν κεφαλαίων τοῦ ὅλου χρόνου τοῦ Ἀποστόλου."

2081. 68. Περγ. 16 μικρ. XII.
Πραξαπόστολος.

2082. 69. Περγ. 16. XIII.

Γρηγορίου τοῦ Θεολόγου Οἱ ιϛ′ ἀναγινωσκόμενοι λόγοι (ἀκέφ.).

Ἀπὸ β′ (ἀκεφ.) Εἰς τὸ Πάσχα καὶ τὴν βραδυτῆτα μέχρι καὶ τοῦ ιϛ′ Εἰς τὸν πατέρα σιωπῶντα.

2083. 70. Περγ. 16. XIII.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ (κολοβ.).

Τελευταῖος τῶν περιεχομένων λόγων (κολοβ.) ὁ κη′ "Περὶ τῆς ἱερᾶς καὶ μητρὸς τῶν ἀρετῶν τῆς μακαρίας προσευχῆς."

2084. 71. Περγ. 32. XIII.

Ὡρολόγιον.

Ὁ κῶδιξ μήκους 0,095, πλάτους 0,065, πάχους μετὰ καὶ τοῦ περικαλύμματος 0,06.

*2085. 72. Χαρτ. φύλ. μέγ. XIX.

1. "Βίος ἔνθεος τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου *συγγραφεὶς παρὰ* **Βασιλείου ἀρχιεπισκόπου Θεσσαλονίκης** *μαθητοῦ αὐτοῦ χρηματίσαντος πρότερον ἐν ὄρει Ἄθω κατὰ τὸ ἔτος 830."*

2. "Βίβλος ἱερὰ ἡ καλουμένη Πατερικὸν καὶ Γεροντικὸν παρὰ τοῖς θεσπεσίοις πατρᾶσιν ἀρχαίοις *ὡς ἐν παλαιοῖς χειρογράφοις εὑρίσκονται σωζόμενα ὑπὸμνήματα περιέχουσα ἀποφθέγματα καὶ διδασκαλίας τῶν θεσπεσίων πατέρων ἔτι τε καὶ διαφόρους ἱστορίας καὶ θεωρίας παλαιῶν καὶ νεωτέρων ἁγίων ὁσίων καὶ διδασκάλων θεσμούς τε καὶ κανόνας πρὸς πᾶσαν πολιτείαν ἀνθρώπων καὶ τάξιν λίαν ὠφελίμους καὶ ψυχοσωτηρίους, ἤδη συλλεχθέντα ἐκ διαφόρων παλαιῶν χειρογράφων βιβλίων καὶ εἰς ἁπλὴν πεζὴν φρᾶσιν μεταφρασθέντα...ἐπιμελείᾳ καὶ πόνῳ, δαπάνῃ τε* **μοναχοῦ** *οἰκτροῦ* **Ἰακώβου**...*Ἔλαβε δὲ πέρας ἡ συγγραφὴ ἐν τῇ ἱερᾷ Νέᾳ Σκήτει ἐν ἔτει σωτηρίῳ ͵αωνδ′ (=1854) παρὰ μοναχοῦ ἀμονάχου οἰκτροῦ Ἰακώβου ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω."*

Προτάσσεται εἰκὼν παριστῶσα τοὺς ἁγίους ἐρημίτας.

2086. 73. Βομβ. φύλ. XIII.

Σειρὰ ἑρμηνειῶν εἰς τοὺς Ψαλμούς (ἀκέφαλος).

Μένει κολοβὴ ἐν ταῖς λέξεσι· ταῦτα δὲ φαμὲν ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων (ΡΑΛΛΗ-ΠΟΤΛΗ Ε' 7). Ἴδ. *καὶ* 3654 (120), 55 ϛ'.

7. "[Ε]ἰ χρὴ τὰ προσφερόμενα ἐν ταῖς ἐκκλησίαις *οἷον προσφερόμενα ἀδιαφόρως ἐσθίειν τὸν ἱερέα.*"

Μετ' ἐρωτήσεων καὶ λύσεων.

8. Πίναξ τῶν ἐν τοῖς ιδ' τίτλοις κεφαλαίων.

Ἐν τοῖς τελευταίοις ἡ τάξις τῶν φύλλων συγκεχυμένη.

9. "Ἐρωτήσεις τοῦ ἁγιωτάτου πατριάρχου **Ἀλεξανδρείας τοῦ κῦρ Μάρκου** *καὶ Ἀποκρίσεις τοῦ...πατριάρχου* **Ἀντιοχείας** *κῦρ* **Θεοδώρου τοῦ Βαλσαμών.**"

3656. 122. Χαρτ. φύλλ. XVI. σελ. 2.

1. "Καθίσματα μαρτυρικά."

2. "Συναξάριον σὺν Θεῷ τῆς συνόψεως τῶν ἁγίων *τοῦ ὅλου χρόνου ὅθεν τε ἕκαστος καὶ ἐκ τίνων ἔφυ καὶ ἐν οἷς χρόνοις καὶ εἴτε διὰ μαρτύριον εἴτε δι' ἀσκήσεως ἐδέξατο τὸν στέφανον.*"

Ἀπὸ Σεπτεμβρίου μέχρι καὶ Φεβρουαρίου.

Ἐν τέλει· Ὁ γραφεὺς ἐστὶν Παΰσιος ἐκ Πάτμου, ἐγράφη ἐν ἔτει ͵ζξγ' Ὀκτωβρίῳ ἡμέρᾳ γῃ ὥρα θ' (=1554).

3657. 123. Χαρτ. φύλλ. XVI.

Βίοι, μαρτύρια καὶ ὑπομνήματα ἁγίων.

α'. Βίος καὶ πολιτεία ἁγ. Ἀθανασίου Ἀλεξανδρείας.—β'. Βίος καὶ πολιτεία ὁσ. Εὐθυμίου.—γ'. "Μαρτύριον τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Εὐγενίου, Κανιδίου, Οὐαλεριανοῦ καὶ Ἀκύλα."—δ'. "Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον τοῦ Χριστοῦ Τιμόθεον." Ἀρχ. *Τιμόθεον τὸν μέγαν ἤνεγκε μὲν ἡ Λυκαόνων, ἐθρέψατο δὲ καὶ ἤσκησεν ἡ πάλαι περιφανὴς ἐν πόλεσι Λύστρα.*—ε'. Μαρτύριον τοῦ ἁγ. Ἀναστασίου.—ϛ'. Ἄθλησις τοῦ ἁγ. ἱερομάρτυρος Κλήμεντος Ἀγκύρας.—ζ'. Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐσεβίας τῆς μετονομασθείσης Ξένης.—η'. Βίος Γρηγορίου τοῦ Θεολόγου.—θ'. Βίος καὶ πολιτεία ὁσίου Ξενοφῶντος.—ι'. "Ὑπόμνημα τύπον ἱστορίας κεφαλαιώδους ἐπέχον ἐπὶ τῇ ἀνακομιδῇ τοῦ τιμίου λειψάνου τοῦ θείου καὶ ἱεροῦ Χρυσοστόμου." Ἀρχ. *Ἀλλὰ πῶς ἄν τις αἰτίας καὶ μώμου ἡμᾶς ἀπαλλάξοι τὸ ἱερὸν οὕτως ἐν ὑπερορίᾳ σῶμα τοῦ θείου Χρυσοστόμου καταλιπόντας.*—ια'. Βίος καὶ πολιτεία ὁσ. Ἐφραὶμ τοῦ Σύρου.—ιβ'. **Ἰωάννου Εὐχαΐτων** Ἐγκώμιον εἰς τοὺς τρεῖς ἱεράρχας.—ιγ'. Βίος καὶ μαρτύριον τῶν θαυματουργῶν Κύρου καὶ Ἰωάννου.—ιδ'. "**Κοσμᾶ βεστήτορος** Διήγησις ἐν ἐπιτομῇ τῶν μετὰ τὴν ἀποβίωσιν τελεσθέντων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου καὶ περὶ τῆς ἀνακομιδῆς τοῦ τιμίου αὐτοῦ λειψάνου."—ιε'. **Ἰωάννου Εὐχαΐτων** Ἐγκώμιον εἰς τοὺς τρεῖς ἱεράρχας.

Ἐν τέλει·...ἐγράφη ἐν ἔτει ͵ζρβ' (=1594).

3658. 124. Χαρτ. φύλλ. XV. σελ. 2.

Βίοι, μαρτύρια καὶ ὑπομνήματα ἁγίων.

α'. "Βίος καὶ πολιτεία τῶν ἁγίων θαυματουργῶν ἰατρῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ."—β'. "Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἀφθονίου, Ἐλπιδοφόρου καὶ Ἀνεμποδίστου."—γ'. "Βίος καὶ πολιτεία καὶ ἀγῶνες τοῦ θείου πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ μεγάλου."—δ'. "Βίος καὶ πολιτεία καὶ μαρτύριον τῶν ἁγίων Γαλακτίωνος καὶ Ἐπιστήμης."—ε'. "Μαρτύριον τοῦ ἁγίου μάρτυρος Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ ἀθλησάντων."—ϛ'. "Βίος τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας."—ζ'. "Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος τοῦ Χριστοῦ Μηνᾶ τοῦ ἐν τῷ Κοτυαείῳ μαρτυρήσαντος."—η'. "Βίος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ Ἐλεήμονος."—θ'. Βίος καὶ πολιτεία Ἰωάννου τοῦ Χρυσοστόμου.—ι'. "Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Φίλιππον." Ἀρχ. *Ὁ τοῦ Θεοῦ Θεὸς λόγος ἀϊδίως συνὼν τῷ πατρὶ καὶ ἄχρονος ὤν.*—ια'. "Μαρτύριον τῶν ἁγίων τριῶν ὁμολογητῶν Γουρία Σαμωνὰ καὶ Ἀβίβου καὶ μερικὴ διήγησις τοῦ γενομένου θαύματος εἰς Εὐφημίαν τὴν κόρην."—ιβ'. "Ὑπόμνημα εἰς τὸν ἅγιον Ματθαῖ τὸν ἀπόστολον καὶ εὐαγγελιστήν." Ἀρχ. *Ἤδη μὲν τὴν παρὰ τοῦ πλάσαντος ἡμᾶς δοθεῖσαν φυλάττοντες ἐντολήν.*

Ἐν τέλει· Ἐτελειώθη ἡ παροῦσα δέλτος δια χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ Λαυρεντίου ἱερομονάχου...ἐν ἔτει ͵ζε' Ὀκτωβρίῳ Γ' ἡμέρᾳ βᾳ (=1496 ;).

3659. 125. Χαρτ. φύλλ. XVI. σελ. 2.

Ἰωάννου τοῦ Χρυσοστόμου "Ὑπόμνημα εἰς τὰς Πράξεις τῶν ἁγίων Ἀποστόλων."

Ὁμιλίαι νε'.

3660. 126. Χαρτ. φύλλ. XVI.

Βίοι, μαρτύρια καὶ ὑπομνήματα ἁγίων.

α'. **Ἀμφιλοχίου Ἰκονίου** "*Διήγησις περί τε τοῦ νέου τῶν θαυμάτων τοῦ ἐν τιμῇ τῶν ἀποστόλων Βασιλείου ἀρχιεπισκόπου γενομένου Καισαρείας Καππαδοκίας.*"—β'. Βίος καὶ πολιτεία Σιλβέστρου πάπα Ῥώμης.—γ'. Μαρτύριον ἁγ. Πολυεύκτου.—δ'. Βίος καὶ πολιτεία ὁσ. Μαρκιανοῦ.—ε'. Βίος καὶ πολιτεία ὁσ. Θεοδοσίου τοῦ κοινοβιάρχου.—ϛ'. "Μαρτύριον τῶν ἁγίων μαρ-

τύρων Ἑρμύλου καὶ Στρατονίκου."—ζ'. "Τοῦ **ὁσίου** καὶ θεοφόρου πατρὸς ἡμῶν **Νείλου** Εἰς τὴν ἀναίρεσιν τῶν ἁγίων ἀββάδων τῶν ἐν τῷ Σινᾷ ὄρει καὶ ἐν τῇ Ραϊθοῦ."—η'. Βίος καὶ πολιτεία Παύλου τοῦ Θηβαίου.—θ'. Βίος ὁσ. Ἰωάννου τοῦ Καλυβίτου.—ι'. "Λόγος εἰς τὴν προσκύνησιν τῆς τιμίας ἁλύσεως τοῦ ἁγίου καὶ κορυφαίου τῶν Ἀποστόλων Πέτρου." Ἀρχ. Ὅσοι τῷ τοῦ κορυφαίου τῶν Ἀποστόλων θείῳ ἔρωτι γενόμενοι κάτοχοι.—ια'. "Λόγος τοῦ φιλοσόφου **Θεοδώρου τοῦ Προδρόμου** εἰς τὴν τιμίαν ἅλυσιν τοῦ ἁγίου καὶ κορυφαίου τῶν Ἀποστόλων Πέτρου καὶ ποίῳ τρόπῳ καὶ λόγῳ ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης ἐν Κωνσταντινουπόλει μετεκομίσθη." Ἀρχ. Μέγας ὁ Πέτρος καὶ τί γὰρ ἢ τῶν τοῦ Σωτῆρος ὀπαδῶν ἡ κορυφαία ὑπεροχὴ καὶ ἀκρόπολις.—ιβ'. Βίος καὶ πολιτεία Ἀντωνίου τοῦ μεγάλου συγγραφεὶς ὑπὸ **Ἀθανασίου Ἀλεξανδρείας.**

Ἐν τελει· δ̄ν̄λ̄'ῑρμ̄ν̄χ̄σ̄ ἔρ̄ψ̄τ̄π̄ρ̄ν̄ β̄κ̄ῑν̄ (=Δανιὴλ ἱερομόναχος ἔγραψε τὸ παρὸν... ;). Αὕτη ἡ βίβλος ὑπάρχει κτῆμα τῆς τοῦ Διονυσίου μονῆς προτροπῇ δὲ τοῦ ταύτης καθηγουμένου Θεωνᾶ ἱερομονάχου ἐγράφη ἐν ἔτει ,ζρβ^{ω} (=1594).

3661. 127. Χαρτ. φύλλ. XVII.

Βίοι, μαρτύρια καὶ ὑπομνήματα ἁγίων.

α'. "Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου καὶ μάρτυρος Ἀνανίου."—β'. Βίος, πολιτεία καὶ μαρτύριον Κυπριανοῦ καὶ Ἰουστίνης.—γ'. "Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου."—δ'. Μαρτύριον τῆς ἁγ. Χαριτίνης.—ε'. "Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Θωμᾶν." Ἀρχ. Πάλαι μὲν τὰς κατὰ γῆν διατριβὰς ἀνύοντες οἱ Ἀπόστολοι.—ϛ'. Μαρτύριον Σεργίου καὶ Βάκχου.—ζ'. Βίος καὶ πολιτεία Πελαγίας τῆς ἐν Ἀντιοχείᾳ.—η'. Μαρτύριον Εὐλαμπίου καὶ Εὐλαμπίας.—θ'. Μαρτύριον Ταράχου, Πρόβου καὶ Ἀνδρονίκου.—ι'. Μαρτύριον Κάρπου, Παπύλου καὶ τῶν σὺν αὐτοῖς.—ια'. "Πολιτεία καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου καὶ Κελσίου."—ιβ'. Βίος καὶ μαρτύριον ἁγ. Λουκιανοῦ.—ιγ'. "Μαρτύριον τοῦ ἁγίου μάρτυρος Λογγίνου τοῦ ἑκατοντάρχου τοῦ ἐπὶ τοῦ σταυροῦ."—ιδ'. "Μαρτύριον τοῦ ἁγίου ὁσιομάρτυρος Ἀνδρέου τοῦ ἐν τῇ κρίσει."—ιε'. "Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν Λουκᾶν." Ἀρχ. Εἰ καὶ δικαίου μνήμην μετ' ἐγκωμίων τελεῖσθαι θεῖός τις ἀνὴρ καὶ σοφὸς τὰ θεῖα νομοθετεῖ.—ιϛ'. "Μαρτύριον τοῦ ἁγίου μάρτυρος Οὐάρου καὶ τῶν σὺν αὐτῷ."—ιζ'. Μαρτύριον τοῦ ἁγ. Ἀρτεμίου.—ιη'. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος."—ιθ'. Βίος καὶ πολιτεία Ἀβερκίου ἐπισκόπου Ἱεραπόλεως.—κ'. "Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Ἰάκωβον τὸν ἀδελφόθεον." Ἀρχ. Οὐχ οὕτως ἡδύ τι τῷ φιλαρέτῳ καὶ κόρῳ μηδενὶ λυμαινόμενον.—κα'. "Μαρτύριον τοῦ ἁγίου μάρτυρος Ἀρέθα καὶ τῆς συνοδίας αὐτοῦ μαρτυρησάντων ἐν Νιγρᾷ τῇ πόλει."—κβ'. "Μαρτύριον τῶν ἁγίων μαρτύρων Μαρκιανοῦ καὶ Μαρτυρίου τῶν νοταρίων."—κγ'. "Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου."—κδ'. Βίος, πολιτεία καὶ μαρτύριον ἁγ. Ἀναστασίας τῆς Ῥωμαίας.—κε'. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀβραμίου.—κϛ'. Μαρτύριον Ζηνοβίου καὶ Ζηνοβίας.—κζ'. Μαρτύριον τοῦ ἁγ. Ἐπιμάχου.

Ἐν τέλει· Ἡ θεία αὕτη καὶ ἱερὰ βίβλος τοῦ Ὀκτωβρίου μηνὸς ὑπάρχει κτῆμα τῆς ἱερᾶς καὶ βασιλικῆς μονῆς τοῦ ἁγίου Διονυσίου, ἐγράφη δὲ διὰ χειρὸς Ἰγνατίου ἐλαχίστου ἱερομονάχου ἐν ἔτει ,ζριθ^{ω} μηνὶ Αὐγούστῳ η' (=1611).

3662. 128. Χαρτ. φύλλ. XVI. σελ. 2.

1. **Ἰωάννου τοῦ Χρυσοστόμου**

α'. "Ὑπόμνημα εἰς τὸν ἅγιον Ἰωάννην τὸν ἀπόστολον καὶ εὐαγγελιστήν." Ὁμιλίαι μϛ'.—β'. "Ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην εὐαγγελίου Εἰς τὴν Μεσοπεντηκοστήν." Ἀρχ. Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης.—γ'. Ὁμιλία "τῇ Κυριακῇ τοῦ Τυφλοῦ." Ἀρχ. Καὶ παράγων ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον τυφλόν.—δ'. Εἰς τὸ "Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἔπτυσε χαμαί." Ἀρχ. Τοὺς μέλλοντάς τι παρὰ τῶν ἀναγινωσκομένων καρποῦσθαι.—ε'. Εἰς τὸ "Λέγουσι τῷ τυφλῷ σὺ τί λέγεις περὶ αὐτοῦ." Ἀρχ. Τὰς γραφὰς οὐχ ἁπλῶς οὐδὲ παρέργως ἐπιέναι χρή.—ϛ'. Εἰς τὸ "Καὶ ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω." Ἀρχ. Οἱ διὰ τὴν ἀλήθειαν καὶ τὴν εἰς Χριστὸν ὁμολογίαν πάσχοντές τι δεινὸν...(κολοβ.).

3663. 129. Χαρτ. φύλλ. XVII.

Βίοι, μαρτύρια καὶ ὑπομνήματα ἁγίων.

α'. Ἄθλησις τῆς ἁγ. Βαρβάρας (κολοβ.).—β'. Βίος καὶ πολιτεία ἁγ. Σάββα (ἀκέφ.).—γ'. "Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ."—δ'. **Ἀνδρέου Κρήτης** Ἐγκώμιον εἰς ἅγ. Νικόλαον.—ε'. "Θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου τοῦ θαυματουργοῦ."—ϛ'. Βίος καὶ πολιτεία Ἀμβροσίου Μεδιολάνων.—ζ'. Βίος καὶ πολιτεία ὁσ. Παταπίου.—η'. "Μαρτύριον τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου."—θ'. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Δανιὴλ τοῦ Στυλίτου."—ι'. "Βίος καὶ πολιτεία καὶ ἀγῶνες τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σπυρίδωνος ἀρχιεπισκόπου Τριμυθοῦντος."—ια'. Μαρτύριον ἁγ. Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου.—ιβ'. "Μαρτύριον τῶν ἁγίων μαρτύρων Θύρσου, Λευκίου, Καλλινίκου, Φιλήμονος καὶ Ἀπολλωνίου."—ιγ'. Μαρτύριον ἁγ. Ἐλευθερίου.

Προτάσσεται τοῦ κώδικος Πίναξ τῶν περιεχομένων.

3664. 130. Χαρτ. φύλλ. XVI.

1. "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἐπιφανίου** ἀρχιεπισκόπου **Κύπρου** Λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸν Ἰωσὴφ τὸν ἀπὸ Ἀριμαθαίας καὶ εἰς τὴν ἐν τῷ Ἅδῃ τοῦ κυρίου κατάβασιν μετὰ τὸ σωτήριον πάθος παραδόξως γενομένην τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ."

2. **Γρηγορίου Νύσσης** Εἰς τὴν τριήμερον ἀνάστασιν τοῦ Κυρίου.

3. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸ ἅγιον Σάββατον καὶ εἰς τὴν ἀνάστασιν τοῦ Κυρίου.

4. **Τοῦ αὐτοῦ** Λόγος κατὰ μέθης.

5. **Βασιλείου τοῦ μεγάλου** Κατὰ μεθυόντων.

6. **Ἰωάννου τοῦ Χρυσοστόμου** "Ὁμιλία εἰς τοὺς τὰ πρῶτα Πάσχα νηστεύοντας."

7. **Γρηγορίου Νύσσης** Εἰς τὸ ἅγιον Πάσχα καὶ περὶ Ἀναστάσεως.

8. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν νέαν Κυριακὴν καὶ εἰς τὸν ἀπόστολον Θωμᾶν.

9. **Τοῦ αὐτοῦ** Ἕτερος ὅμοιος.

Ἀρχ. Ἥκω τὸ περιληφθὲν ὄφλημα καταβαλεῖν ἐπειγόμενος.

10. **Τοῦ αὐτοῦ** Εἰς τὴν καινὴν Κυριακήν, εἰς τὸν ἀπόστολον Θωμᾶν καὶ περὶ πίστεως.

Ἀρχ. Φαιδρὸς ὁμοῦ ὡς *καὶ θεοσεβῶς.*

11. **Βασιλείου Σελευκείας** Εἰς τὴν νέαν Κυριακὴν καὶ εἰς τὸν ἀπόστολον Θωμᾶν.

12. **Γρηγορίου Νύσσης** Εἰς τὴν τριήμερον Ἀνάστασιν καὶ εἰς τὰς μυροφόρους γυναῖκας.

13. **Βασιλείου Σελευκείας** "Εἰς τὸν χωλὸν ἐπὶ τὴν ὡραίαν πύλην καθήμενον."

14. **Ἰωάννου τοῦ Χρυσοστόμου** "Εἰς τὸν παράλυτον καὶ εἰς τὸ Μὴ κρινεται (ε) κατ' ὄψιν."

15. **Τοῦ αὐτοῦ** "Λόγος εἰς τὴν Σαμαρείτην."

16. "**Λεοντίου πρεσβυτέρου Κωνσταντινουπόλεως** Λόγος εἰς τὴν Μεσοπεντηκοστὴν *καὶ εἰς τὸν ἀπόστολον Πέτρον τὸν ὑπὸ Ἡρώδου ἐν τῇ φυλακῇ ἀποκλεισθέντα.*"

17. **Ἀθανασίου Ἀλεξανδρείας** "Εἰς τὸν ἐκ γεννητῆς τυφλόν."

18. **Ἰωάννου τοῦ Χρυσοστόμου** "Εἰς τὴν ἀνάληψιν τοῦ Χριστοῦ."

Ἐν τέλει·...ἐγράφη δὲ προτροπῇ τοῦ ταύτης ἡγουμένου Θεωνᾶ ἱερομονάχου ἐν ἔτει ‚ζρϑ^ω μηνὶ Μαρτίῳ (=1596).

Ἰδ. καὶ 3660 (126).

19. **Βασιλείου Σελευκείας** Εἰς τὴν Ἀνάληψιν.

20. **Ἐπιφανίου Κύπρου** Εἰς τὴν Ἀνάληψιν.

21. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν Ἀνάληψιν.

22. **Τοῦ αὐτοῦ** Εἰς τὴν Ἀνάληψιν ἕτερος.

Ἀρχ. Ἔτι μοι κατὰ ψυχὴν ἀριθμοῦντι.

23. **Τοῦ αὐτοῦ** Εἰς τὴν Ἀνάληψιν ἕτερος.

Ἀρχ. Φαιδρὰ μὲν πᾶσα ἑορτὴ τῆς τοῦ Κυρίου οἰκονομίας.

24. **Κυρίλλου Ἀλεξανδρείας** Εἰς τὴν Ἀνάληψιν.

25. "Λόγος ἱστορικὸς περὶ τοῦ ἁγίου καὶ ἰσαποστόλου βασιλέως Κωνσταντίνου τοῦ μεγάλου *καὶ περὶ τῶν πραχθέντων ἐν Νικαίᾳ παρὰ τῆς συνόδου τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων καὶ περὶ τῆς ἀπὸ τῆς ἐξορίας ἀνακλήσεως τοῦ δυσσεβοῦς Ἀρείου καὶ τῆς τοῦ βίου αὐτοῦ καταστροφῆς.*"

26. **Γεωργίου πρεσβυτέρου Καισαρείας** "*Λόγος εἰς τοὺς τιη' ἁγίους πατέρας καὶ εἰς τὸν Κωνσταντῖνον τὸν βασιλέα.*"

27. **Ἀνδρέου Κρήτης** Εἰς τὸν ἀνθρώπινον βίον καὶ εἰς τοὺς ἀπ' αἰώνων κεκοιμημένους πιστούς.

28. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν Πεντηκοστήν.

29. **Τοῦ αὐτοῦ** Εἰς τὴν Πεντηκοστὴν ἕτερος.

Ἀρχ. Οὐρανὸς ἡμῖν σήμερον γέγονεν ἡ γῆ.

30. **Τοῦ αὐτοῦ** Περὶ τοῦ παναγίου πνεύματος.

31. **Τοῦ αὐτοῦ** "Λόγος τῇ ἁγίᾳ Πεντηκοστῇ *περὶ συνεχῶς ἀπαντᾷν ἐν τῇ ἐκκλησίᾳ καὶ περὶ ἑορτῶν...*"

Ἀρχ. Πάλιν ἑορτὴ καὶ πάλιν πανήγυρις.

32. **Τοῦ αὐτοῦ** "Λόγος εἰς τὴν ἁγίαν Πεντηκοστήν, *περὶ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος...*"

Ἀρχ. Μεγάλα ἀγαπητοὶ καὶ πάντα λόγον ἀνθρώπινον ὑπερβαίνοντα.

33. **Γρηγορίου Θεσσαλονίκης [τοῦ Παλαμᾶ]** "*Ὁμιλία εἰς τὴν κατὰ τὴν Πεντηκοστὴν τελεσθεῖσαν φανέρωσιν καὶ διανομὴν τοῦ θείου πνεύματος.*"

34. **Ἰωάννου τοῦ Χρυσοστόμου** "Εἰς τοὺς ἁγίους μάρτυρας τοὺς ἁπανταχοῦ κατὰ τὴν οἰκουμένην ἀθλήσαντας."

35. **Φιλοθέου Κωνσταντινουπόλεως** Εἰς τοὺς ἁγίους Πάντας.

Ἐν τέλει· Χάρις τῷ ἑνὶ καὶ μεγάλῳ ἐν οὐρανοῖς Θεῷ τῷ κυρίῳ μου Ἰησοῦ Χριστῷ· εἴληφε γὰρ τέλος καὶ ἡ βίβλος αὕτη τῷ εὐτελεῖ Δοσιθέῳ Ὀκτωβρίου κζ' τῷ ‚ζμϛ' ἔτει (=1537). Ἡ δὲ πρὸ ταύτης βίβλος πρὸ τεσσάρων χρόνων ἐγράφη, δηλαδὴ πρὸ τοῦ τῆς μονῆς ἐμπρησμοῦ ἓν ἔτος. Ἡ βίβλος αὕτη ὑπάρχει τῆς μονῆς τοῦ Διονυσίου, ὅπου καὶ ἐγράφη.

Προτάσσεται τοῦ κώδικος Πίναξ τῶν περιεχομένων. Σύγκειται δ' ὁ κῶδιξ ἐκ δύο μερῶν συμπεπηγμένων εἰς τὸ αὐτό. Τούτων τὸ μὲν πρῶτον, περιλαμβάνον τὰ ὑπ' ἀρ. 1—18, γέγραπται κατὰ μίαν σελίδα, ὡς καὶ τὸ ὑπ' ἀρ. 27, ἐν ἔτει 1596, τὸ δὲ δεύτερον, περιλαμβάνον τὰ ὑπ' ἀρ. 19—35 πλὴν τοῦ ὑπ' ἀρ. 27, γέγραπται κατὰ δύο σελίδας τῷ 1537.

3665. 131. Χαρτ. φύλλ. XVII. σελ. 2.

[Φιλοθέου Κωνσταντινουπόλεως]

"*Διδασκαλίαι τῶν Κυριακῶν τοῦ ὅλου ἐνιαυτοῦ καὶ τινῶν μεγάλων καὶ ἐξαιρέτων ἑορτῶν, ἀκριβῶς συντεθειμένων αἵτινες ἄρχονται ἀπὸ τῇ Κυριακῇ τῶν ἁγίων Πάντων καὶ καταδήγουσι μέχρι τῆς κθ' τοῦ Αὐγούστου μηνός.*"

Προτάσσεται τῶν ὁμιλιῶν Πίναξ τῶν περιεχομένων.

Κάτωθεν τοῦ πρώτου φύλλου, ἐν ᾧ ἡ ἐπιγραφὴ ἄνευ τοῦ ὀνόματος τοῦ συγγραφέως, εὕρηται ἐν τῇ ᾤᾳ τὸ ἑξῆς σημείωμα· Εὗρον ὅτι τὸ παρὸν βιβλίον εἶναι ποίημα κυροῦ **Φιλοθέου πατριάρχου.**

3666. 132. Χαρτ. φύλλ. XVII.

1. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν *Παϊσίου τοῦ μεγάλου συγγραφεὶς παρὰ τοῦ ὁσίου* **Ἰωάννου μοναχοῦ τοῦ Κολοβοῦ.**"

2. Βίος καὶ μαρτύριον ὁσ. Φεβρωνίας.

3. Βίος καὶ πολιτεία Συμεὼν τοῦ διὰ Χριστὸν σαλοῦ.

4. Βίος καὶ πολιτεία ὁσ. Φιλοθέου τοῦ ἐν τῷ ὄρει Ἄθῳ ἀσκήσαντος.

5. Βίος καὶ πολιτεία Φιλαρέτου τοῦ ἐλεήμονος.

6. Βίος καὶ ἄθλησις τοῦ νέου μάρτυρος Βάκχου.

7. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν *Μαξίμου τοῦ Καψοκαλλύβη τοῦ ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθωνος ἀσκήσαντος, συγγραφεὶς παρὰ* **Νήφωνος ἱερομονάχου.**"

8. Βίος καὶ πολιτεία Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.

9. Μαρτύριον τῶν ἁγίων Κλεονίκου καὶ Εὐτροπίου.

10. Μαρτύριον τοῦ ἁγίου Βασιλίσκου.

11. Βίος καὶ πολιτεία Νήφωνος τοῦ Ἀθωνίτου.

12. "Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀνδρονίκου καὶ τῆς συμβίου αὐτοῦ."

13. "Διήγησις ἐπωφελὴς περὶ τῆς θεανδρικῆς εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς φανερωθείσης ἐν τῇ Θεσσαλονίκῃ μονῇ τῶν Λατόμων συγγραφεῖσα παρὰ **Ἰγνατίου μοναχοῦ τοῦ καθηγουμένου τοῦ Ἀκαπνίου.**"

Ἀρχ. Πολλὰ μὲν ὡς ἀληθῶς καὶ μεγάλα τὰ τοῦ Θεοῦ περὶ ἡμᾶς εὐεργετήματα.

14. "Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Ἀναστασίας τῆς πατρικίας."

Ἀρχ. Ἐν ταῖς ἡμέραις Ἰουστιανοῦ τοῦ μεγάλου βασιλέως γέγονέ τις γυνὴ ἐν τῷ Βυζαντίῳ Ἀναστασία τοὔνομα.

15. "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Νείλου** πρὸς Χαρικλεῖ πρεσβυτέρῳ ἀποτόμῳ ἐξερχομένῳ τοῖς πταίουσι καὶ λέγοντι μὴ ἀρκεῖν τὴν μετάνοιαν εἰς ἐξομολόγησιν."

Ἀρχ. Πάνυ μοι δοκεῖς τὴν θείαν ἠγνοηκέναι γραφήν.

16. "Ἐξήγησις περί τινος οἰκονόμου ἀνδρὸς εὐλαβοῦς ὀνόματι Θεοφίλου ὑπὸ ἐνεργείας δὲ τοῦ διαβόλου ἀρνησαμένου ἐγγράφως τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, διὰ δὲ μεσιτείας τῆς τῶν Χριστιανῶν ἡμῶν μεσίτιδος τῆς ὑπεραγίας Θεοτόκου συμπαθηθέντος ὑπὸ τοῦ φιλευσπλάγχνου υἱοῦ αὐτῆς καὶ Θεοῦ."

Ἀρχ. Ἐγένετο ἐν τῇ τῶν Ῥωμαίων φιλοχρίστῳ πολιτείᾳ πρινὴ τὴν ἐπιδρομὴν γενέσθαι τῶν Περσῶν ἐν μιᾷ τῶν πόλεων ὀνόματι Ἀδανῶ, τῆς τῶν Κιλίκων δευτέρας ἐπαρχίας οἰκονόμον γενέσθαι ἐν τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ ὀνόματι Θεόφιλον.

17. "Περὶ τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ."

18. "Διήγησις τοῦ ὁσίου πατρὸς ἡμῶν **Μακαρίου τοῦ Ἀλεξανδρείας**, ἣν εἶδε περὶ τῶν κεκοιμημένων ψυχῶν."

19. "**Ἰωάννου τοῦ Δαμασκηνοῦ** Περὶ τῶν κεκοιμημένων."

20. "Περὶ ἐλπίδος πάνυ ὡραῖον κεφάλαιον."

21. "Διήγησις πάνυ ὠφέλιμος."

Ἀρχ. Ἱερεύς τις μετ' εὐλαβοῦς διακόνου ἀγάπην τὴν Θεῷ φίλην εἰς ἀλλήλους κτησάμενοι διὰ δαιμονικῆς σκαιότητος εἰς ἔχθραν περιτραπέντες.

22. "Περὶ τῆς μοναδικῆς πολιτείας πόθεν ἤρξατο καὶ τίνος εἰκὼν τυγχάνει καὶ τί τὰ ἀμφιάσματα καὶ τίς ὁ ταύτης σκοπὸς καὶ φωτισμός."

Ἀρχ. Κατ' εἰκόνα καὶ καθ ὁμοίωσιν τοῦ ἁγίου καὶ φιλανθρώπου καὶ ἀγαθοῦ Θεοῦ.

Ἐν τῇ ᾤᾳ· Ἴσως τοῦ **Θεοδώρου τοῦ Στουδίτου.**

23. "Διήγησις περὶ σημειοφόρου πατρός."

24. "Βίος καὶ πολιτεία τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν τῶν ἐν τῷ Χάσματι."

Ἀρχ. Κωνσταντίνου τοῦ πρώτου Χριστιανῶν βασιλέως νεύσει Θεοῦ καὶ συνεργίᾳ τοῦ τιμίου σταυροῦ τῆς ῥωμαϊκῆς ἀρχῆς κρατοῦντος τὰ σκῆπτρα.

25. "Θαῦμα γενόμενον εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου εἰς τὴν μονὴν τὴν λεγομένην ἡ μεγάλη Ἀντίληψις."

26. "Διήγησις Ἰουδαίου τινὸς σοφοῦ ὁμολογήσαντος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος εἶναι καὶ τῆς ἀχράντου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ μετὰ τὸ γεννῆσαι αὐτὴν πάλιν παρθένον μεῖναι."

27. "Ἐπιστολὴ **Ποντίου Πιλάτου** πρὸς βασιλέα Τιβέριον περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."

28. "Ἀντίγραμμα καίσαρος [**Τιβερίου**] πρὸς Πιλάτον Πόντιον κατηγορικόν."

29. "Διήγησις περὶ τῶν ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ Μαξιμιλιανοῦ, Ἰαμβλίχου, Μαρτινιανοῦ, Διονυσίου, Ἀντωνίνου, Κωνσταντίνου καὶ Ἰωάννου."

30. "**Ἀναστασίου πατριάρχου Θεουπόλεως [Ἀντιοχείας]** Ἐξήγησις περὶ τῶν ἐν Περσίδι πραχθέντων."

31. "Περὶ μισομονάχου τινὸς ἐπισκόπου."

Ἀρχ. Γέγονέ τις ἐν τῇ ἁγίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλει ἀρχιεπίσκοπος ὀνόματι Ἀμώς.

32. "Τοῦ **ὁσίου Ἀντιόχου** Περὶ ἐνυπνίων καὶ πλάνης."

33. "Ὁ ταπεινὸς μητροπολίτης **Πενταπόλεως Ναθανιὴλ** τῇ εὐλαβεστάτῃ ἐν μοναχαῖς καὶ ἐν ἁγίῳ πνεύματι θυγατρὶ τῆς ἡμῶν ταπεινότητος Εὐγενίᾳ μοναχῇ ἐν Κυρίῳ χαίρειν."

Ἀρχ. Ἐπειδή περ ἀπήτησας δούλη Χριστοῦ παρ' ἡμῶν παραδοῦναί σοι τὰ συντείνοντα νῦν καὶ ἁρμόζοντα πρὸς κατάληψιν ἀρετῆς.

34. "Περὶ τοῦ Σολομῶντος."

Ἀρχ. Ὁ Σολομὼν υἱὸς Δαβὶδ ἐγένετο ἐκ τῆς τοῦ Οὐρίου γυναικός· ἐγένετο δὲ οὕτως.

Ἐν τῇ ᾤᾳ· Μηδεὶς πιστευέτω τοῖς ἐν τῷ διηγήματι τούτῳ λεγομένοις· ὑπὸ κακούργων γὰρ καὶ μιαρῶν αἱρετικῶν συνεγράφησαν.

35. "Ἔκθεσις κατ' ἐπιτομὴν τοῦ τῶν Ἰακωβιτῶν δόγματος καὶ τῶν ἄλλων, ὧν ποιοῦσι παρὰ τὴν ἐκκλησιαστικὴν καὶ ὀρθόδοξον πίστιν τε καὶ παράδοσιν, συγγραφεῖσα παρὰ **Δημητρίου** μητροπολίτου **Κυζύκου** ἐκ προτροπῆ τοῦ φιλοχρίστου Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, υἱοῦ Λέοντος τοῦ σοφοῦ, ἐν ᾗ καὶ περὶ τῶν Χατζιτζαρίων."

36. "Ἀνάμνησις μερικὴ περὶ τοῦ Ἄθω ὄρους τὰ λεγόμενα Πάτρια."

37. "Διήγησις διαλαμβάνουσα ὅτι οὐ χρὴ ἄνευ προτροπῆς τοῦ κατὰ τόπον ἀρχιερέως ἀναδέχεσθαι λογισμοὺς καὶ τὴν κατὰ πνεῦμα πατρότητα ἐνεργεῖν."

38. "Περὶ τοῦ παρανόμου Ἰούδα."

39. "Τοῦ **ὁσίου** πατρὸς ἡμῶν **Δωροθέου** Ἐκ τοῦ αὐτοῦ λόγου περὶ νηστείας."

40. "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Νείλου** Κεφάλαια εὐσύνοπτα πάνυ ὠφέλημα."

41. **Βασιλείου τοῦ μεγάλου** Λόγος Περὶ μοναχικῆς πολιτείας.

42. Βίος τοῦ ὁσίου Μάρκου τοῦ Ἀθηναίου.

43. "Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ νεοφανοῦς ὁσίου πατρὸς ἡμῶν Ῥωμύλου."

44. "Διηγήματα περὶ τῶν ἐν Σινᾶ ἁγίων πατέρων, περὶ τοῦ ἀββᾶ Ἀναστασίου τοῦ ἐν Ῥαϊθοῦ."

45. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Λέοντος ἐπισκόπου Κατάνης."

46. Μαρτύριον ὁσίου Χριστοφόρου καὶ τῶν σὺν αὐτῷ.

Προτάσσεται τοῦ κώδικος "Πίναξ ἀκριβὴς τοῦ παρόντος βιβλίου." Ἐν δὲ τῷ τέλει· Τὸ παρὸν βιβλίον ἐγράφει διὰ χειρὸς Δανιὴλ συνδρομῆς δὲ καὶ ἐξόδου Γερασίμου μοναχοῦ τῆς αὐτῆς μονῆς τοῦ κῦρ Διονυσίου....

3667. 133. Χαρτ. φύλλ. XVII.

"**Εὐθυμίου** πόνημα καὶ μονοτρόπου
τοῦ Ζιγαβηνοῦ Δογμάτων πανοπλία
Ἀλεξίῳ τευχθεῖσα Κομνηνῶν γένους
ἄνακτι πιστῷ τῶν ἀπίστων εἰς πάλην."

Προτάσσεται "Πίναξ τῆς βίβλου τῆς ἐπονομαζομένης Δογματικῆς πανοπλίας." Ἐν τέλει· Ἐτελειώθη ἡ παροῦσα δογματικὴ πανοπλία διὰ χειρὸς Σεραφεὶμ ἱερομονάχου τοῦ Θασίου ἐν ἔτει ͵αχϙϛ' Ὀκτωβρίου ιδ' (=1696).

3668. 134. Χαρτ. φύλλ. XVII. σελ. 2.

"Συναξάριον σὺν Θεῷ
τῶν ἁπανταχόθεν τῆς οἰκουμένης ἁγίων διαλαμβάνον συνεπτυγμένως ὅθεν τε ἦν ἕκαστος καὶ ποῦ καὶ ποτε καὶ πῶς εἴτε φημὶ δι' ἀθλήσεως, εἴτε ἀσκήσεως τὸν βίον διήνυσεν· ἔτι τὲ καὶ περὶ τῶν δεσποτικῶν καὶ ἑτέρων ἐπισήμων ἑορτῶν· οἱ δὲ στίχοι συνετέθησαν ἄγαν ἀρίστως ὑπὸ **Χριστοφόρου πατρικίου καὶ ὑπάτου τοῦ Μιτυληναίου**· οἱ μὲν ἴαμβοι ἐν ἐγκωμίου τάξει τό τε ὄνομα καὶ τὸ τέλος τοῦ ἐγκωμιαζομένου δηλοῦντες· ὁ δὲ εἰς τὸν πρῶτον ἅγιον ἡρωϊκὸς, δηλῶν ὁμοῦ τό τε ὄνομα καὶ τὸ τέλος αὐτοῦ καὶ τὴν ἡμέραν, καθ' ἣν ἐτελειώθη. Ἐν δὲ ταῖς πρώταις ἡμέραις δηλοῖ καὶ τὰ τῶν μηνῶν ὀνόματα."

Ἀπὸ Σεπτεμβρίου μέχρι καὶ Φεβρουαρίου.

Προτάσσονται α'. "Τῇ Κυριακῇ, ὅταν οὐκ ἔχῃ ὁ κατὰ τὴν ἡμέραν ἅγιος κοντάκιον λέγομεν Προστασία τῶν Χριστιανῶν· λέγομεν δὲ καὶ τὸν παρόντα οἶκον." Ἀρχ. Ἔκτεινόν σου παλάμας.—β'. "Καθίσματα μαρτυρικά."

Ἐν τέλει τοῦ Συναξαρίου· Τὸ παρὸν Συναξάριον ἐγράφη χειρὶ Κυρίλλου...ὑπάρχει δὲ κτῆμα τῆς σεβασμίας μονῆς τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τῆς ἐπονομαζομένης τοῦ Διονυσίου· ἐγράφη δὲ ἐν ἔτει ͵ζριεῳ μηνὶ Νοεμβρίῳ ιζ' (=1606).

3669. 135. Χαρτ. φύλλ. XVII.

Βίοι, μαρτύρια καὶ ὑπομνήματα ἁγίων.

α'. Βίος καὶ πολιτεία ἁγ. Κοσμᾶ καὶ Δαμιανοῦ.—β'. "Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἀφθονίου καὶ Ἀνεμποδίστου."—γ'. "Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ Ἰωσὴφ καὶ Ἀειθαλᾶ."—δ'. "Βίος καὶ πολιτεία καὶ ἀγῶνες τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου."—ε'. "Βίος καὶ πολιτεία καὶ μαρτύριον τῶν ἁγίων μαρτύρων Γαλακτίωνος καὶ Ἐπιστήμης."—ϛ'. Βίος καὶ πολιτεία Παύλου τοῦ ὁμολογητοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.—ζ'. "Μαρτύριον τοῦ ἁγίου μάρτυρος Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ ἁγίων τῶν ἐν Μελιτηνῇ ἀθλησάντων."—η'. "Βίος καὶ πολιτεία καὶ ἄσκησις τῆς ἁγίας Ματρώνης."—θ'. "Βίος καὶ πολιτεία τῆς ὁσίας καὶ ἀειμνήστου Θεοκτίστης τῆς Λεσβίας."—ι'. Μαρτύριον τοῦ ἁγίου Μηνᾶ.—ια'. Βίος καὶ πολιτεία Ἰωάννου Ἀλεξανδρείας τοῦ Ἐλεήμονος.—ιβ'. Βίος καὶ πολιτεία Ἰωάννου τοῦ Χρυσοστόμου.—ιγ'. "Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Φίλιππον." Ἀρχ. Ὁ τοῦ θεοῦ λόγος ἀϊδίως συνὴν τῷ πατρί.—ιδ'. "Μαρτύριον τῶν ἁγίων ὁμολογητῶν Σαμωνᾶ, Γουρία καὶ Ἀβίβου."—ιε'. "Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν Ματθαῖον." Ἀρχ. Ἤδη μὲν τὴν παρὰ τοῦ πλάσαντος ἡμᾶς δοθεῖσαν φυλάττοντες ἐντολήν.

Προτάσσεται τοῦ κώδικος Πίναξ τῶν περιεχομένων. Ἐν τέλει (καταλογάδην)·

Ὥσπερ κατηξίωσας, ὦ Θεοῦ λόγε,
τέρμα κατιδεῖν τοῦ παρόντος βιβλίου,
οὕτω καταξίωσον ἰδεῖν καὶ τέλος
τῶν συνεχουσῶν συμφορῶν με ποικίλων
τῆς σῆς δεήσεις μητρὸς εἰσδεδεγμένος
τοῦ τε Προδρόμου καὶ θείου βαπτιστοῦ σου

Ἀντώνιος ὁ τλήμων ὁ καὶ αὐτοῦ οἰκέτης. ͵ζρμε' μηνὶ Ὀκτωβρίου η' (=1636) διὰ συνδρομῆς Γαλακτίωνος ἱερομονάχου.

3670. 136. Χαρτ. φύλλ. XVI.

Γρηγορίου τοῦ Θεολόγου οἱ ιϛ' ἀναγινωσκόμενοι λόγοι.

Προτάσσεται "Πίναξ ἀκριβὴς τῆς παρούσης πυκτίδος."

Ἐν τέλει· Ἐγράφη ἐπὶ ἔτους ͵ζπηῳ ἰνδ. ηης (=1580). Οἱ παρόντες οὗτοι ἑκκαίδεκα ἀναγινωσκόμενοι λόγοι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου δηλαδὴ ἐγεγράφησαν ἐν τῇ ἡμετέρᾳ ταύτῃ σεβασμίᾳ καὶ ἱερᾷ μονῇ τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ, ἤτοι τοῦ κυροῦ Διονυσίου, οἳ καὶ κτῆμα αὐτῆς ὑπάρχουσιν· ὁ γοῦν βουληθεὶς συλλῆσαι αὐτοὺς, δηλονότι ἐκ τῆς εἰρημένης μονῆς ἐχέτω τὰς ἀρὰς τῶν ἁγίων τι' καὶ η' θεοφόρων πατέρων· ἔλαβον δὲ τέρμα ἐξ ἐμοῦ Θεωνᾶ ἱερομονάχου καὶ ἁμαρτωλοῦ Σκιρροφοριῶνος τετάρτῃ ἐπὶ δέκα ἡμέρᾳ Σαββάτῳ.

3671. 137. Χαρτ. φύλλ. XVII. σελ. 2.

Συναξάριον ἀπὸ Μαρτίου μέχρι καὶ Αὐγούστου.

Προτάσσονται α'. "Καθίσματα μαρτυρικὰ λεγόμενα εἰς τὴν ζ' ᾠδήν."—β'. "Περὶ τοῦ πῶς δεῖ λέγειν τὰς ἡμέρας τῶν μηνῶν."—γ'. "Τῇ Κυριακῇ ὅταν οὐκ ἔχῃ ὁ ἅγιος κοντάκιον λέγομεν τὸ παρὸν, ἦχ. πλαγ. β' Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε: Ὁ οἶκος Ἔκτεινόν σου παλάμας."—δ'. "Κοντάκιον καὶ ὁ οἶκος τῆς λαμπρᾶς Κυριακῆς." Ἕπεται δὲ "Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ τιμίου Προδρόμου μετὰ τὸ συναξάριον αὐτοῦ." Ἀρχ. Ἀλλ' ὦ πρόδρομε τοῦ Σωτῆρος, ἑωσφόρε τοῦ νοητοῦ τῆς δικαιοσύνης ἡλίου.

Ἐν τέλει τοῦ Συναξαρίου· Τὸ παρὸν Συναξάριον ὑπάρχει μὲν κτῆμα τῆς σεβασμίας καὶ βασιλικῆς μονῆς τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τῆς ἐπονομαζομένης τοῦ Διονυσίου συγκειμένης ἐν τῷ τοῦ Ἄθω ὄρει· ἐγράφη δὲ παρ' ἐμοῦ Κυρίλλου μοναχοῦ ἕνεκεν ψυχικῆς σωτηρίας...ἐν ἔτει ͵ζριβ' Φευρουαρίου ιε' (=1604).

3672. 138. Χαρτ. φύλλ. XIV.

Γρηγορίου τοῦ Παλαμᾶ Λόγοι.

α'. "Τοῦ μακαριωτάτου ἀρχιεπισκόπου **Θεσσαλονίκης Γρηγορίου** Λόγος ἀποδεικτικὸς πρῶτος ὅτι οὐχὶ καὶ ἐκ τοῦ υἱοῦ, ἀλλ' ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον." Ἀρχ.

Πάλιν ὁ δεινὸς καὶ ἀρχέκακος ὄφις.—β'. "**Τοῦ αὐτοῦ** Λόγος δεύτερος περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος ὅτι οὐχὶ καὶ ἐκ τοῦ υἱοῦ, καὶ πρὸς τὰ παρὰ Λατίνων ἐκ τῆς θείας γραφῆς εἰς συνηγορίαν αὐτῶν δῆθεν προτεινόμενα." Ἀρχ. Ὃν μὲν οὖν ἔδει καὶ αὐτῷ τῷ τῶν εὐσεβούντων καταλόγῳ.—γ'. "**Τοῦ αὐτοῦ** Εἰς τὰς παρὰ τοῦ Βέκκου ὑπὲρ Λατίνων ἐπὶ ταῖς συλλεγείσαις παρ' αὐτοῦ γραφικαῖς χρήσεσιν, ἐπιγραφὰς, ἀντεπιγραφαὶ δεικνῦσαι δυσσεβῶς ἐχούσας τὰς τοιαύτας ἐπιγραφὰς καὶ ἀντιθέτους οὔσας ταῖς συνειλεγμέναις τῶν ἁγίων ῥήσεσιν."—δ'. "Πρὸς τὸ συμπέρασμα λόγος δ'." Ἀρχ. Οὐ μὴν, ἀλλὰ καὶ ἀπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου γένοιτ' ἂν τὸ ζητούμενον ἡμῖν γνώριμον.—ε'. "Ἐκ τοῦ ἐναντίου πρὸς τὸ συμπέρασμα λόγος πέμπτος." Ἀρχ. Καὶ μὴν καὶ ἐκ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου καὶ δὴ καὶ τῆς ἑβδόμης δεικτέον ἐστὶ τὸ ζητούμενον.—ϛ'. "**Τοῦ αὐτοῦ** Λύσις τῶν προτάσεων τῶν Λατίνων ἐξ ὧν συνάγειν οἴονται τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι." Διήρηται εἰς Κεφάλαια Λατίνων μθ' καὶ Λύσεις τῶν προειρημένων.

Τινά εἰσιν ἔργα **Νείλου Θεσσαλονίκης τοῦ Καβάσιλα.** Ἴδ. καὶ 3681 (147), 3685 (151), 7, 8.

3673. 139. Χαρτ. φύλλ. XIV.

Ἰωάννου τοῦ Καντακουζηνοῦ

Ἀπολογία κατὰ Μωάμεθ. Βιβλία δ'.

Ἡ ἀρχὴ ἐφθαρμένη.

3674. 140. Χαρτ. φύλλ. XV. σελ. 2.

Πατερικόν.

Διήρηται κατὰ λόγους, ἀπὸ τοῦ ιε' (ἀκεφ.) μέχρι καὶ τοῦ λη' (κολ.), ἔχοντας μὲν διαφόρους ἐπιγραφὰς, ἀπηρτισμένους δ' ἐκ διαφόρων ἀποσπασμάτων πατέρων.

Ὁ ιϛ' ἐπιγρ. "Περὶ ἀκακίας καὶ ἀφελότητος." Ὁ λη' "Περὶ πλούτου καὶ πενίας καὶ πῶς δὴ γνωρίσωμεν τὰ τοιαῦτα ἃ ἐκ τοῦ θεοῦ εἰσὶν ἢ ἐξ ἐνεργείας τοῦ ἀντικειμένου."

3675. 141. Χαρτ. φύλλ. XVII. (φ. 249).

Μαξίμου τοῦ Πελοποννησίου Κυριακοδρόμιον. Ὁμιλίαι μδ'.

Προτάσσεται "Πίναξ ἀκριβὴς τοῦ παρόντος βιβλίου" καὶ Προοίμιον. Ἀρχ. Μάξιμος ἱερομόναχος ὁ Πελοποννήσιος τοῖς ἁπανταχοῦ εὑρισκομένοις χριστωνύμοις λαοῖς ἱερωμένοις τε καὶ λαϊκοῖς ἐν Κυρίῳ χαίρειν καὶ ὑγιαίνειν πάντοτε καὶ ἀεί. Ἐν τέλει τοῦ προοιμίου· ͵αχιδ' Μαρτίου ζ' εἰς Ἰωάννινα.

Ἐν τέλει τοῦ κώδικος· Χειρὶ μὲν Ἀρσενίου μονοτρόπου τῇ δὲ προτροπῇ καὶ δαπάνῃ τοῦ νῦν καθηγουμένου κυροῦ Συμεὼν ἱερομονάχου γέγραπται τὸ παρὸν· ἔτος ͵αχλθ' Ἰουλίῳ γ' (=1639).

3676. 142. Χαρτ. φύλλ. XVII.

Ἰωάννου τοῦ Χρυσοστόμου Ὁμιλίαι ιε'.

α'. Εἰς τὸ Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος καὶ περὶ φιλοξενίας.—ιε'. "Περὶ ἀκαταλήπτου." Ἡ ι' τῶν Ὁμιλιῶν **Βασιλείου τοῦ μεγάλου** Εἰς τὸ Καθελῶ μου τὰς ἀποθήκας.

Προτάσσεται τοῦ κώδικος Πίναξ τῶν περιεχομένων. Ἐν τέλει· Γαλακτίων ὁ γράψας ἐν ἔτει ͵ζρλε' (=1627) κτῆμα τῆς τοῦ ἁγίου Διονυσίου μονῆς.

3677. 143. Χαρτ. φύλλ. XVII.

Βίοι καὶ μαρτύρια ἁγίων.

α'. Μαρτύριον τῆς ἁγίας Ἀγάθης.—β'. Μαρτύριον Φαύστης, Εὐϊλασίου καὶ Μαξιμίνου.—γ'. Βίος ὁσίου Αὐξεντίου.—δ'. Ἄθλησις τοῦ ἁγίου Ὀνησίμου.—ε'. Μαρτύριον Κλεονίκου καὶ Εὐτροπίου.—ϛ'. Βίος καὶ πολιτεία Θεοφυλάκτου Νικομηδείας.—ζ'. Μαρτύριον τῶν ἁγίων Θεοδούλου καὶ Ἀγαθόποδος.—η'. Μαρτύριον τοῦ ἁγίου Θεοδώρου.—θ'. Διήγησις θαυμάτων τοῦ ἁγίου Γεωργίου.—ι'. "Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως ἐπισκόπου Ἀμασείας." Ἀρχ. Ἐγένετο μετὰ τὸ πατάξαι Κύριον τὸν τῆς Ῥωμαίων ἄθεον καὶ δυσμενέστατον.—ια'. Μαρτύριον τοῦ ἁγίου Ἰσιδώρου.—ιβ'. "Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Ἀχιλλίου μητροπολίτου Λαρίσσης."—ιγ'. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ ἐν τῷ Θαυμαστῷ ὄρει."—ιδ'. "Μαρτύριον τοῦ ἁγίου Ἰουλιανοῦ καὶ τῶν σὺν αὐτῷ τελειωθέντων."—ιε'. [**Θεοδώρου πρεσβυτέρου**] "Λόγος δηλῶν τὸν τόπον καὶ τὸν χρόνον καὶ τρόπον, καθ ὃν ἐφανερώθη ἡ θεία τῆς Θεοτόκου ἐσθὴς ἡ ἀποκειμένη ἐν τῇ σεβασμίᾳ σωρῷ τῆς ἐν Βλαχέρναις προσκυνουμένης."—ιϛ'. "Μαρτύριον τοῦ ἁγίου Κοΐντου."—ιζ'. "Μαρτύριον τοῦ ἁγίου Κόνωνος."—ιη'. Ἄθλησις τοῦ μάρτυρος Ὑακίνθου.—ιθ'. Βίος, ἀγῶνες καὶ μερικὴ θαυμάτων διήγησις Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ.—κ'. "Βίος καὶ μαρτυρίῳ συμπεπλεγμένος τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Προκοπίου καὶ τῶν σὺν αὐτῷ."—κα'. "**Εὐαγρίου ἐπισκόπου** Εἰς τὸν βίον καὶ εἰς τὰ θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Παγκρατίου ἀρχιπροέδρου Ταυρομενίας."—κβ'. "Μαρτύριον τῶν ἁγίων με' τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας μαρτυρησάντων."—κγ'. "Μαρτύριον τῶν ἁγίων Πρόκλου καὶ Ἱλαρίου."—κδ'. "Ὅρος τῆς ἁγίας οἰκουμενικῆς ἐν Χαλκηδόνι τετάρτης συνόδου τῶν χλ' ἁγίων πατέρων ἡμῶν." Ἀρχ. Ἡ ἁγία καὶ μεγάλη οἰκουμενικὴ σύνοδος ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα.—κε'. "Μαρτύριον τοῦ ἁγίου Ἀντιόχου."—κϛ'. "Μαρτύριον τοῦ ἁγίου μάρτυρος Ἀθηνογένους."—κζ'. "Μαρτύριον τοῦ ἁγίου Αἰμιλιανοῦ."—κη'. Μαρτύριον ἁγίας Χριστίνης.—κθ'. Μαρτύριον ἁγίου Λαυρεντίου καὶ τῶν σὺν αὐτῷ.—λ'. "Βίος καὶ πολιτεία καὶ ἄθλησις τοῦ ἀοιδίμου καὶ μακαριωτάτου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μαξίμου καὶ περὶ τῶν δύο μαθητῶν αὐτοῦ."—λα'. "Μαρτύριον τοῦ ἁγίου Ἀνδρέου τοῦ στρατηλάτου καὶ τῶν σὺν αὐτῷ."—λβ'. Μαρτύριον Ἀγαθονίκου καὶ τῶν σὺν αὐτῷ.

Προτάσσεται Πίναξ τῶν περιεχομένων.

Ἐν τέλει· Τὸ παρὸν βιβλίον ὑπάρχει μὲν κτῆμα τῆς σεβασμίας καὶ βασιλικῆς μονῆς τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τῆς ἐπονομαζομένης τοῦ Διονυσίου συγκειμένης ἐν τῷ τοῦ Ἄθῳ ὄρει· ἐγράφη δὲ παρ' ἐμοῦ εὐτελοῦς Ἰωάσαφ ἱερομονάχου διὰ συνδρομῆς καὶ ἐξόδου τοῦ ὁσιωτάτου καὶ μουσικωτάτου ἐν ἱερομονάχοις κυροῦ Δαμιανοῦ τοῦ ἐξ Ἀθηνῶν καὶ ἐπροσήλωσα αὐτῷ ἐν τῇ ῥηθείσῃ μονῇ ἕνεκεν ψυχικῆς σωτηρίας καὶ οἱ ἀναγινώσκοντες αὐτὸ εὔχεσθε ὑπὲρ αὐτοῦ ἐν ἔτει ͵ζρμα' (=1633).

3678. 144. Χαρτ. φύλλ. XVI. σελ. 2.

1. **Ἰωάννου τοῦ Σχολαστικοῦ** Κλίμαξ ἐν τῇ καθωμιλημένῃ.

2. "Βίος καὶ πολιτεία τοῦ μακαριωτάτου καὶ λογιωτάτου Ἰωάννου ἡγουμένου τοῦ ἁγίου ὄρους Σινᾶ τοῦ λεγομένου Σχολαστικοῦ τοῦ καὶ συγγραψαμένου τὴν ἁγίαν

ταύτην καὶ ἱερὰν Κλίμακα, μεταφρασθεὶς ἐν ἁπλῇ καὶ ἰδιωτικῇ φράσει παρά τινος **Σωφρονίου** εὐτελοῦς **ἱερομονάχου** ὡρμομένου ἐκ τῆς Ἑλλάδος γῆς."

Προτάσσεται Πίναξ τῶν περιεχομένων.

3679. 145. Χαρτ. φύλλ. XVII. (φ. 572).

1. Βίοι, μαρτύρια καὶ ἐγκώμια ἁγίων.

α'. "Βίος καὶ πολιτεία τοῦ ὁσίου Λουκᾶ τοῦ ἐν Στειρίῳ" (ἀκέφ.). Ἀρχ.... μήτε σὺ ἐμὲ ἀδικήσῃς ἔφη μήτ' ἐγὼ σέ. Τέλ. ὃ καὶ ἐμοὶ γένοιτο καὶ πᾶσι τοῖς σὲ βοηθὸν ἐπιγραφομένοις ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Ἴδ. Γ. ΚΡΕΜΟΥ Φωκικά. Ἐν Ἀθήναις. 1874 Τόμ. Α' σ. 41—62.—β'. Μαρτύριον Θεοδώρου τοῦ στρατηλάτου.—γ'. Μαρτύριον ἁγίου Νικηφόρου.—δ'. Μαρτύριον τοῦ ἁγίου Χαραλάμπους.—ε'. Μαρτύριον ἁγίου Βλασίου.—ϛ'. Βίος ἐν συντόμῳ Μελετίου Ἀντιοχείας.—ζ'. **Γρηγορίου Νύσσης** Ἐπιτάφιος εἰς τὸν ὅσιον Μελέτιον Ἀντιοχείας.—η'. **Ἰωάννου τοῦ Χρυσοστόμου** Ἐγκώμιον εἰς τὸν αὐτόν.—θ'. Βίος ὁσίου Μαρτινιανοῦ.—ι'. Ἄθλησις Θεοδώρου τοῦ Τήρωνος.—ια'. "Βίος καὶ πολιτεία καὶ ἄθλησις τῆς ἁγίας Εὐδοκίας τῆς ἀπὸ Σαμαρειτῶν."—ιβ'. Βίος καὶ πολιτεία Ἰακώβου τοῦ ἀσκητοῦ.—ιγ'. "**Νικήτα ῥήτορος** ἐγκώμιον εἰς τὸν ἅγιον ἱερομάρτυρα Θεόδοτον." Ἀρχ. Ἐγκωμιαζομένων δικαίων εὐφρανθήσεσθαι λαοὺς τῆς ἱερᾶς πιστεύω λεγούσης γραφῆς.—ιδ'. Βίος καὶ πολιτεία Γερασίμου τοῦ ἀναχωρητοῦ.—ιε'. "Μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ τεσσαράκοντα δύο μαρτύρων τῶν ἐν Ἀμωρίῳ μαρτυρησάντων συγγραφὲν παρὰ **Εὐωδίου**."—ιϛ'. "Μαρτύριον τῶν ἁγίων τεσσαράκοντα τοῦ Χριστοῦ μαρτύρων."—ιζ'. "Βίος ἐν ἐπιτόμῳ καὶ ἐγκώμιον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοφάνους τοῦ τῆς Σιγριανῆς."—ιη'. "Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Βασιλείου πρεσβυτέρου τῆς ἐν Ἀγκύρᾳ τοῦ Θεοῦ ἐκκλησίας."—ιθ'. "Βίος τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας συγγραφεὶς παρὰ **Σωφρονίου** ἀρχιεπισκόπου **Ἱεροσολύμων**."—κ'. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Νικήτα ἡγουμένου μονῆς τοῦ Μηδικίου."—κα'. "Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου."—κβ'. "Ἐγκώμιον εἰς τὸν ἅγιον ἱερομάρτυρα Βασιλέα ἀρχιεπίσκοπον Ἀμασείας." Ἀρχ. Οἱ τὸ ἐπίγειον κράτος λαχόντες καὶ τῶν βασιλικῶν ἡνιῶν τε καὶ σκήπτρων ἐπειλημμένοι.—κγ'. "Ἐγκώμιον εἰς τὸν μέγαν προφήτην Ἱερεμίαν." Ἀρχ. Νόμος ἐστὶ τῶν ἀνθρώπων τοῖς εὐγενεστέροις ἢ δικαιοτέροις.—κδ'. "Βίος καὶ πολιτεία τοῦ μακαρίου καὶ δικαίου Ἰώβ."—κε'. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρσενίου τοῦ μεγάλου."—κϛ'. "**Νικήτα ῥήτορος** Ἐγκώμιον εἰς τὸν μέγαν προφήτην Ἡσαΐαν, ἐν ᾧ καὶ περὶ τῶν Σεραφίμ." Ἀρχ. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε.—κζ'. **Τοῦ αὐτοῦ** "Ἐγκώμιον εἰς τὸν ἅγιον καὶ πανεύφημον ἀπόστολον Σίμωνα τὸν Ζηλωτήν." Ἀρχ. Τί φαιδρὰ σήμερον ἡ ἡμέρα καὶ εὔσημος ἑορτὴ καὶ θυμηδίας μεστή.—κη'. "Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Λουκιλλιανοῦ τοῦ θαυματουργοῦ καὶ τῆς συνοδίας αὐτοῦ." Ἐν τέλει· Ἐγράφη χειρὶ μὲν Ἰωάσαφ τῇ δὲ προτροπῇ Γαλακτίωνος ,ζρνϛ' (=1648).—κθ'. Μαρτύριον Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ.—λ'. "**Νικήτα ῥήτορος** Ἐγκώμιον εἰς τὸν ἅγιον καὶ πανεύφημον ἀπόστολον Ἰούδαν τὸν Θαδδαῖον." Ἀρχ. Ὁ μὲν μακάριος Ἰακὼβ ἐκεῖνος ὁ καὶ Ἰσραὴλ ἐπὶ τέλει ποτὲ τοῦ βίου γενόμενος καὶ τοὺς υἱοὺς εὐλογῶν.—λα'. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Δαβὶδ τοῦ ἐν τῇ θεοσώστῳ πόλει Θεσσαλονίκῃ." Ἀρχ. Οἱ τῶν εὖ βεβιωκότων τὰς πράξεις ἀναγραφόμενοι ζωγράφων ἀρίστων εὐτεχνίαν μιμούμενοι.—λβ'. "Ἐγκώμιον εἰς τὸν ὅσιον πατέρα ἡμῶν Δαβὶδ τὸν ἐν Θεσσαλονίκῃ." Ἀρχ. Δαβὶδ ὁ ὁσιώτατος· τοῦτο γὰρ ὄνομα τῷ εἰς ὑπόθεσιν προκειμένῳ τῷ λόγῳ.—λγ'. Βίος καὶ πολιτεία Σαμψὼν τοῦ ξενοδόχου.—λδ'. "Ὑπόμνημα διαλαμβάνον μερικῶς τοὺς ἀγῶνας καὶ ἆθλα καὶ ἀποδημίας καὶ τελειώσεις τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου." Ἀρχ. Καὶ τῶν τεχνῶν οὐ μόνον τοὺς ἐξ ἀρχῆς πατέρας ἀποδεχόμεθα.—λε'. "Μαρτύριον τοῦ ἁγίου μάρτυρος Ὑακίνθου."—λϛ'. "Βίος καὶ πολιτεία, ἤγουν ἄθλησις τῆς ἁγίας μάρτυρος Γολινδοὺχ τῆς μετονομασθείσης Μαρίας."—λζ'. Βίος καὶ πολιτεία Ἀνατολίου Κωνσταντινουπόλεως.—λη'. "Βίος ἤτοι ἐγκώμιον τοῦ ὁσίου καὶ μακαρίου καὶ ἀληθῶς ἁγίου πατρὸς ἡμῶν Δίου." Ἀρχ. Ὁπότ' ἄν τινὲς τῶν φιλομαθῶν ἀνδρῶν τὶ καινὸν καὶ παράδοξον ὁμοῦ τε καὶ ψυχωφελὲς ἀκούσωσι διήγημα.—λθ'. "Βίος καὶ πολιτεία τῆς ἁγίας Μακρίνης τῆς ἀδελφῆς Βασιλείου τοῦ μεγάλου, ῥηθεὶς ὑπὸ **Γρηγορίου** ἀρχιεπισκόπου **Νύσσης**."—μ'. Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος.—μα'. Μαρτύριον τοῦ ἁγίου Καλλινίκου.—μβ'. "Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ δικαίου Εὐδοκίμου."—μγ'. "Διήγησις **Ἰωσήπου** εἰς τὸ μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων Μακκαβαίων." Ἀρχ. Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων.—μδ'. "**Κωνσταντίνου** ἐν Χριστῷ **βασιλέως** Ῥωμαίων Διήγησις ἀπὸ διαφόρων ἀθροισθεῖσα ἱστοριῶν περὶ τῆς εἰς Αὔγαρον ἀποσταλείσης ἀχειροποιήτου θείας εἰκόνος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν...." Ἐν τέλει· Ἔτους ,ζρκη^{δ} ἰνδ. γ^{ης} μηνὶ Σεπτεβρίῳ β^{α} (=1619). Θεοῦ τὸ δῶρον καὶ Ἰγνατίου πόνος.—με'. "Μαρτύριον τῶν ἁγίων μαρτύρων Ἀδριανοῦ καὶ Ναταλίας."

2. **Ἀλεξίου Κομνηνοῦ αὐτοκράτορος Τραπεζοῦντος** Χρυσόβουλλον περὶ τῆς μονῆς Διονυσίου.

Ἐν τέλει· Μετεγράφει ἀπὸ τὸ καθολικὸν χρυσόβουλλον ἐν ἔτει ,ζρνδ' ἐν μηνὶ Ἰουνίῳ κε' (=1646) δι' ἐμοῦ τοῦ εὐτελοῦς καὶ ἐλαχίστου τῶν ἱερομονάχων Γαλακτίωνος.

Ἐκδέδοται τύποις ὑπὸ FALLMERAYER Originalfragmente, Chroniken, Inschriften und anderes Material zur Geschichte des Kaisertums Trapezunt. (Abhandlungen der III Kl. der Bayr. Akademie der Wissenschaften III Bd. Abth. III σ. 87—91), ΣΙΜΩΝΙΔΟΥ Ὀρθοδόξων Ἑλλήνων θεολογικαὶ γραφαὶ τέσσαρες. Ἐν Λονδίνῳ 1859 σ. 120 κ. ἑ. καὶ DRÄSEKE ἐν τῇ Byz. Zeitschrift Τόμ. Β' σ. 86 κ. ἑ. Ἴδ. καὶ ἀντιβολὰς τοῦ ZACHARIAE VON LINGENTHAL Über ein trapezuntinisches Chrysobull (Sitzungsberichte der philos.-philol. u. hist. Cl. der Bayr. Akad. der Wissenschaften 1881 σ. 292 κ. ἑ.) καὶ ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ ἐν τῇ Byz. Zeitschrift Τόμ. Β' σ. 613 κ. ἑ.

Ὁ κῶδιξ γέγραπται ὑπὸ τριῶν χειρῶν, τῆς μὲν ἀρχαιοτέρας, τῆς τοῦ Ἰγνατίου (ἴδ. 1, μδ'), τῶν δὲ νεωτέρων, τῆς τοῦ Ἰωάσαφ (ἴδ. 1, κη') καὶ τῆς τοῦ Γαλακτίωνος (ἴδ. 2).

3680. 146. Χαρτ. φύλλ. XV. σελ. 2.

1. "**Φιλόθεος** ἱστορία συγγραφεῖσα παρὰ **Θεοδωρήτου ἐπισκόπου** Κύρου."

2. "**Τοῦ αὐτοῦ** Περὶ τῶν τῆς Ἰνδίας ἐθνῶν τῶν Βραγμάνων."

3. **Ἰωάννου τοῦ Εὐκρατᾶ** Λειμών.

3681. 147. Χαρτ. φύλλ. XIV.

1. **Νείλου Θεσσαλονίκης**

α'. Συγγραφὴ ἀκέφαλος. Ἀρχ.…καὶ τοσοῦτον ὡς μηδὲ ἀριθμῷ ὑποπίπτειν δύνασθαι, ποῦ δίκαιον ἀθετεῖσθαι θεραπείαν.—β'. "Λόγοι Λατίνων, ἐξ ὧν οἴωνται δεικνύναι τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ."—γ'. "**Τοῦ αὐτοῦ** Ἐκ τοῦ ἐναντίου πρὸς τὸ συμπέρασμα Λόγος αος."—δ'. "Πρὸς τὸ συμπέρασμα ἢ περὶ τοῦ ἁγίου πνεύματος Λόγος δεύτερος."—ε'. "Πρὸς τὸ συμπέρασμα ἢ περὶ τοῦ ἁγίου πνεύματος Λόγος γ'."—ς'. "Πρὸς τὸ συμπέρασμα Λόγος δ'."—ζ'. "Ἐκ τοῦ ἐναντίου πρὸς τὸ συμπέρασμα Λόγος πέμπτος."—η'. "Λύσεις τῶν προτάσεων τῶν Λατίνων, ἐξ ὧν συνάγειν οἴονται τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι."

Ἴδ. καὶ 3672 (138), 3685 (151), 7, 8.

2. "**Τοῦ μακαρίου Αὐγουστίνου**

Ἐν τῷ προοιμίῳ τοῦ περὶ Τριάδος τρίτου βιβλίου περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος."

3. "Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου

ἥτις ἀποκατέστησε Φώτιον τὸν ἁγιώτατον πατριάρχην εἰς τὸν θρόνον Κωνσταντινουπόλεως καὶ διέλυσεν καὶ τὰ σκάνδαλα τῶν δύο ἐκκλησιῶν τῆς τε παλαιᾶς καὶ νέας Ῥώμης."

Περιέχεται καὶ "Πρὸς τὸν ἁγιώτατον Φώτιον **Ἰωάννου πάπα** ἐπιστολή: Αὕτη ἡ ἐπιστολὴ εὑρέθη ἐν βιβλίῳ ἁγιορειτικῷ τῆς μονῆς τοῦ Βατοπεδίου πολλὰ καὶ διάφορα ἔχοντι περὶ ἀσκητικοῦ βίου καὶ μετεγράφη ἐκεῖθεν ὡς κεῖται· εὑρέθη καὶ ἐνταῦθα ἐν τῇ Κωνσταντινουπόλει βιβλίον ἕτερον ἔχον ταύτην τὴν ἐπιστολήν."

Ἐν τέλει· Εἴληφε τέρμα ἡ παροῦσα νῦν βίβλος ἔτους ,ςωοζ' ὑπάρχοντος ἐν μηνὶ Ἰουλίῳ ἰνδ. ζ' (=1369).

4. "Ἁγιορειτικὸς τόμος

ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων διὰ τοὺς ἐξ ἰδίας ἀπειρίας καὶ τῆς πρὸς τοὺς ἁγίους ἀπειθείας ἀθετοῦντας τὰς τοῦ πνεύματος μυστικὰς ἐνεργείας κρεῖττον ἢ λόγος ἐν τοῖς κατα πνεῦμα ζῶσιν ἐνεργουμένας καὶ δι' ἔργων φανερουμένας, ἀλλ' οὐ διὰ λόγων ἀποδεικνυμένας."

Ἀρχ. Τὰ μὲν ἀρτίως καθωμιλημένα καὶ κοινῇ πᾶσιν ἐγνωσμένα καὶ παρρησίᾳ κηρυττόμενα δόγματα τοῦ διὰ Μωσέως ὑπῆρχε νόμου μυστήρια, τοῖς προφήταις μόνοις ἐν πνεύματι προορώμενα.

5. "Συνοδικὸς τόμος

γεγραμμένος ἐπὶ ταῖς ἐξελεγξάσαις καὶ ἀποβαλλομέναις τὴν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δυσσέβειαν μεγάλαις συνόδοις, ἐν αἷς οὐχ ἡ ἐκκλησία μόνον, ἀλλὰ καὶ ἡ σύγκλητος καὶ οἱ καθολικοὶ παρῆσαν τῶν Ῥωμαίων κριταὶ προκαθημένου καὶ τοῦ θειοτάτου βασιλέως, ἕως οὗ περιῆν."

Ἀρχ. Ἐπαινετὸς ἀληθῶς ὁ εἰπὼν τὴν ταπείνωσιν ἀληθείας εἶναι ἐπίγνωσιν· αὕτη γὰρ καὶ τῶν οἰκείων μέτρων ἐστὶ κατάληψις.

6. "Συνοδικὸς τόμος

ἐπικυρῶν τὸν ἐπ' ἐλέγχῳ καὶ καταδίκῃ τῶν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δογμάτων πρότερον τόμον καὶ σὺν Ἀκινδύνῳ πάλιν ἐξελέγχων καὶ καθαιρῶν τὸν ὕστερον ὁμόφρονα καὶ προστάτην αὐτοῦ γενόμενον πατριάρχην."

Ἀρχ. Ὄντως οὐδεὶς οὕτως ἀρχιτέκτων τῶν ποικίλων ὡς ποριστὴς καὶ προστάτης παντοδαπῆς δυσσεβείας ὁ ἀντικείμενος.

7. "Ὁ προβὰς ὕστερον ἱερὸς τόμος

κατὰ τοῦ Ἀκινδύνου καὶ τῶν ὁμοφρόνων αὐτῷ τῶν τε χρηματισάντων δύο ἀρχιερέων, τοῦ Ἐφέσου καὶ τοῦ Γάνου καὶ τοῦ Γρηγορᾶ καὶ Δεξιοῦ καὶ τῶν ἄλλων τῶν ὁμοδόξων αὐτοῖς."

Ἀρχ. Οὔτε τὴν κατὰ τῆς ἐκκλησίας τοῦ κοινοῦ πολεμίου μανίαν ἀγνοεῖν οὐδένα νομίζομεν, οὔτε τὴν παρὰ τοῦ Σωτῆρος ῥοπήν, δι' ἣν μυρίων ἐπιρρυέντων αὐτῇ τῶν δεινῶν, οὐ τῶν βελῶν περιγίνεται μόνον, ἀλλὰ καὶ λαμπρὰ διαδείκνυται.

3682. 148. Χαρτ. φύλλ. XVI. σελ. 2.

1. **Θεοδώρου τοῦ Στουδίτου** Κατηχήσεις.

2. **Ἰωάννου τοῦ Χρυσοστόμου** "Κατήχησις

ἐν τῇ λαμπρᾷ Κυριακῇ τῆς ἁγίας τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀναστάσεως."

3. Βίος Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.

4. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν Εὐαγγελισμόν.

5. "Ἀποκάλυψις Ἰωάννου τοῦ Θεολόγου,

ἣν εἶδεν ἐν Πάτμῳ τῇ νήσῳ."

6. "Βίος καὶ πολιτεία καὶ θαυμάτων διήγησις

τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παχωμίου."

7. "Τοῦ σοφωτάτου μεγάλου λογοθέτου

Κωνσταντίνου τοῦ Ἀκροπολίτου Ἐγκώμιον εἰς τὸν ἅγιον θεόστεπτον καὶ ἰσαπόστολον βασιλέα Κωνσταντῖνον."

Ἀρχ. Ἆρά τις εὐσεβείας ζῆλον αὐχῶν καὶ λόγων ἔχων ἰσχύν.

8. "**Ἰωάννου** μοναχοῦ **τοῦ Ζωναρᾶ** Ὑπόμνημα

εἰς τὸν ὅσιον πατέρα ἡμῶν Κύριλλον τὸν τῆς μεγαλοπόλεως Ἀλεξανδρείας ἀρχιεπίσκοπον."

Ἀρχ. Ἄρδει μὲν ὁ πολυχεύμων Νεῖλος ὁ ποταμὸς ὁ Αἰγύπτιος τὴν τῆς Αἰγύπτου χώραν.

9. "**Ἀλεξάνδρου** μοναχοῦ Ἐγκώμιον

εἰς τὸν ἅγιον Βαρνάβαν τὸν ἀπόστολον προτραπέντος ὑπὸ τοῦ πρεσβυτέρου καὶ (κλει)δούχου τοῦ σεβασμίου αὐτοῦ ναοῦ ἐν ᾧ ἱστορεῖται καὶ ὁ τόπος τῆς ἀποκαλύψεως τῶν ἁγίων αὐτοῦ λειψάνων καὶ δηλοῦται ὁ βίος αὐτοῦ καὶ ἡ πολιτεία καὶ ἡ ἄθλησις."

Ἀρχ. Μεγίστην λόγων ὑπόθεσιν προσέθετο τοῖς πτωχοτάτοις ἡμῖν ἡ πατρικὴ ἡμῶν φιλομαθία, ὦ πατέρων ἄριστε καὶ ἀσκητῶν δοκιμώτατε πάτερ.

10. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν

Ὀνουφρίου, συγγραφεὶς παρὰ μοναχοῦ **Νικολάου** πρεσβυτέρου τοῦ **Σιναΐτου**."

11. Βίος καὶ πολιτεία Πέτρου τοῦ Ἀθωνίτου.

12. **Ἀντιπάτρου Βόστρων** Εἰς τὸ γενέσιον

τοῦ Προδρόμου καὶ εἰς τὴν σιγὴν Ζαχαρίου καὶ εἰς τὸν ἀσπασμὸν τῆς Θεοτόκου.

13. "**Ἀετίου πρεσβυτέρου** Κωνσταντινουπόλεως

Ὁμιλία λεχθεῖσα εἰς τὸ γενέσιον τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ."

Ἀρχ. Πολλοὶ μὲν ἤδη πολλάκις, ἀγαπητοὶ ποικίλας ἡμῖν διδασκαλίας προτεθείκασι.

14. **Σωφρονίου Ἱεροσολύμων** Ἐγκώμιον

εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον.

Ἀρχ. Δίδου ἡμῖν, ὦ φωνὴ τοῦ λόγου, φωνήν.

15. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν σύλληψιν τῆς Ἐλισάβετ καὶ εἰς τὸν Ζαχαρίαν.

16. "**Νικήτα** ῥήτορος καὶ φιλοσόφου

Ἐγκώμιον εἰς τοὺς ἁγίους ἀποστόλους καὶ κορυφαίους Πέτρον καὶ Παῦλον."

Ἀρχ. Τίς ὁ τερπνὸς οὗτος ἦχος· τίς ὁ τῶν ἑορταζόντων εὔσημος κρότος.

17. **Ἰωάννου τοῦ Χρυσοστόμου**

α′. Εἰς τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον.—β′. Εἰς τοὺς ιβ′ Ἀποστόλους.

18. " **Θεοδώρου πρεσβυτέρου** τῆς μεγάλης ἐκκλησίας Λόγος δηλῶν τὸν τόπον καὶ τὸν χρόνον...τῇ ἐν Βλαχέρναις προσκυνουμένῃ."

Ἴδ. 3677 (143), ιε′.

19. " Τοῦ σοφωτάτου ἀνδρὸς καὶ ῥήτορος **Νικήτα τοῦ Παφλαγόνος** Ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Ὑάκινθον."

Ἀρχ. Ἔπρεπεν ἄρα πολλῶν καὶ τιμίων λίθων εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν τῷ πνεύματι.

20. " Βίος τοῦ ἐν ἁγίοις πατρὸς Ἀνδρέου Ἱεροσολυμίτου ἀρχιεπισκόπου γενομένου Κρήτης συγγραφεὶς παρὰ **Νικήτα πατρικίου** καὶ κοιαίστωρος καὶ πανευφήμου."

21. "Ἐγκώμιον εἰς τὸν ὅσιον καὶ θεοφόρον πατέρα ἡμῶν Ἀθανάσιον τὸν ἐν τῷ Ἄθῳ."

Ἀρχ. Οὐδὲ τῆς τῶν ὁσίων μνήμης οἱ φιλόθεοι προσκορεῖς.

22. " **Νικήτα φιλοσόφου** δούλου Χριστοῦ Ἐγκώμιον εἰς τοὺς ἁγίους μάρτυρας καὶ καλλινίκους Κήρυκον καὶ Ἰουλίτταν."

Ἀρχ. Ὥσπερ οὐκ ἔστι συνεχόμενον τῷ Κυρίῳ Ἰουδαῖον ἢ Ἕλληνα καὶ δοῦλον σώζειν ἢ ἐλεύθερον.

23. **Κυρίλλου Ἀλεξανδρείας** " Λόγος εἰς τὴν ἁγίαν Θεοτόκον καὶ εἰς τοὺς ἁγίους πατέρας τοὺς ἐν Ἐφέσῳ ἐπὶ τῆς συνόδου κατὰ Νεστορίου τοῦ δυσσεβοῦς καὶ ἀθεωτάτου."

Ἀρχ. Φαιδρὸς ἡμῖν ὁ λόγος καὶ χάριτος ἐμπεπλησμένος.

24. " Λόγος εἰς τὴν ὀκταήμερον περιτομὴν τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἔπαινος διὰ βραχέων εἰς τὸν μέγαν Βασίλειον."

Ἀρχ. Σκιὰν μὲν τῶν μελλόντων ἀγαθῶν οὐκ αὐτὴν δὲ τὴν εἰκόνα τῶν πραγμάτων τὸν νόμον ἔχειν τοῦ γράμματος ὁ μέγας ἀπεφήνατο Παῦλος.

25. **Γρηγορίου Νύσσης** Εἰς τὸν μέγαν Βασίλειον.

26. Βίος ἀγῶνες καὶ ἄθλησις Μαξίμου τοῦ ὁμολογητοῦ.

27. Ἄθλησις τῆς ἁγίας Μαρίνης

28. Ὑπόμνημα εἰς τὸν προφήτην Ἠλίαν.

Ἀρχ. Ἄρτι μὲν αἱ δώδεκα τοῦ Ἰσραὴλ φυλαὶ σὺν ἀλλήλαις ἦσαν καὶ ἀδιαίρετοι.

29. **Γρηγορίου Θεσσαλονίκης** Ὁμιλία εἰς τὴν Μεταμόρφωσιν.

30. **Ἀνδρέου Κρήτης** Εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ. Λόγοι δύο.

31. " Λόγος εἰς τὴν εὕρεσιν καὶ ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ ἐκτεθεὶς παρὰ **Ἀλεξάνδρου μοναχοῦ**."

32. " **Εὐθυμίου** ἐλαχίστου δούλου Ἰησοῦ Χριστοῦ Ἐγκώμιον εἰς τὸν ἅγιον καὶ πανένδοξον ἀπόστολον τοῦ Χριστοῦ Ἱερόθεον."

Ἀρχ. Ἱερόθεον ἐπαινέσομαι τὸν ἱερὸν τοῦ Θεοῦ ἄνθρωπον.

33. " **Παντολέοντος διακόνου** καὶ χαρτοφύλακος τῆς μεγάλης ἐκκλησίας Διήγησις θαυμάτων τοῦ θείου ἀρχιστρατήγου Μιχαήλ."

34. " **Μιχαὴλ** τοῦ μακαριωτάτου **συγκέλλου** τῆς ἁγίας τοῦ Θεοῦ μεγάλης ἐκκλησίας Ἐγκώμιον εἰς τοὺς ταξιάρχας τῶν ἀγγέλων Μιχαὴλ καὶ Γαβριὴλ καὶ εἰς τὴν αὐτῶν σύναξιν."

Ἀρχ. Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα φησὶν ὁ θεῖος Δαβίδ.

35. **Γρηγορίου Θεσσαλονίκης** Εἰς τὴν πρὸς τὰ ἅγια τῶν ἁγίων εἴσοδον.

36. Βίος καὶ πολιτεία ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ συγγραφεὶς παρὰ **Ἰωάννου** πατριάρχου **Ἱεροσολύμων.**

37. **Ἀνδρέου Κρήτης** Ἐγκώμιον εἰς τὸν ἅγιον Νικόλαον.

Ἀπὸ τοῦ ἀρ. 27 ἄρχεται "Ἡ δευτέρα βίβλος," ἧς προτάσσεται ἴδιος Πίναξ τῶν περιεχομένων.

Ἐν τέλει τοῦ κώδικος· Ἰδοὺ πεπεράτωταί μοι καὶ αὕτη ἡ βίβλος...τῷ ͵ζμη′ ἔτει Ἰουλίῳ κα^η (=1540). Δοσίθεος εὐτελὴς ῥακενδύτης καὶ μονότροπος τάχα. Ἐγράφη γοῦν ἐν τῇ σεβασμίᾳ μονῇ τῇ ἐπωνομαζομένῃ τοῦ Διονυσίου, ἧς ὑπάρχει καὶ κτῆμα.

3683. 149. Χαρτ. φύλλ. XIV. σελ. 2.

Βίοι καὶ μαρτύρια ἁγίων Σεπτεμβρίου.

Ἐν τέλει· Δόξα σοι τῷ Θεῷ τῷ δόντι τέλος χαρμόσυνον· εὔξασθε οἱ ἀναγινώσκοντες ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ Λουκᾶ μοναχοῦ τοῦ γεγραφότος.

3684. 150. Χαρτ. φύλλ. XV. XVII.

1. **Γεωργίου τοῦ Σχολαρίου**

α′. "Ἔκθεσις τῆς ὑγιοῦς καὶ ὀρθοδόξου πίστεως κυροῦ **Γεωργίου τοῦ Σχολαρίου** τοῦ καὶ ὕστερον γεγονότος πατριάρχου Κωνσταντινουπόλεως."—β′. " **Τοῦ αὐτοῦ κῦρ Γενναδίου τοῦ Σχολαρίου** Ἀπολογία σύντομος ὑπὲρ τοῦ μὴ δέχεσθαι τοὺς ὑγιαίνοντας τῶν Γραικῶν τὴν ἐν Φλωρεντίᾳ σύνοδον καὶ τὴν ἐκεῖ κακῶς ὁρισθεῖσαν ἕνωσιν· ἐγράφη δὲ μετὰ τὴν τοῦ βασιλέως Ἰωάννου τελευτήν." Ἀρχ. Ὅθεν μὲν καὶ ὅπως ἐπὶ τὴν ἐν τῷ συμβόλῳ προσθήκην οἱ Λατῖνοι κεκίνηνται, ἄλλης ἂν γένοιτο χρείας ἐξετάζειν τε καὶ σκοπεῖν.

2. " Τόμος συνοδικὸς κατὰ τῆς τῶν Λατίνων αἱρέσεως ἐκτεθεὶς κατὰ μῆνα...τοῦ ϛ^ω^ ἔτους· καθαιρῶν μὲν Ἰωάννην τὸν Βέκκον τοῦ πατριαρχικοῦ θρόνου καὶ ἀναθέματι τοῦτον καθυποβάλλων ὡς τῇ τοιαύτῃ αἱρέσει αὐτομολήσαντα· τῷ αὐτῷ δ' ὁμοίως παραδιδοὺς ἀναθέματι καὶ πάντα ἄλλον τὸν τὰ αὐτὰ ἐκείνῳ φρονοῦντα ἢ φρονήσοντα ποτὲ προκαθημένου τοῦ εὐσεβεστάτου βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγος, συνεδριάζοντος τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Γρηγορίου καὶ συμπάσης τῆς ἱερᾶς συνόδου καὶ τῶν λαμπροτάτων συγκλητικῶν παρακαθημένων."

3. " Ὁ ὅρος ὁ γενόμενος ὑπὸ Λατίνων ἐν Φλωρεντίᾳ καὶ ὑπογραφεὶς ἐκ τῶν ἡμετέρων παραχωρήσει Θεοῦ." Ἀρχ. Εὐγένιος ἐπίσκοπος, δοῦλος τῶν δούλων τοῦ Θεοῦ.

4. **Γεωργίου Κορεσσίου** Θεολόγου

α′. " Περὶ ἐκπορεύσεως τοῦ θείου πνεύματος."—β′. " **Γεωρ-**

γίου **Κορεσσίου** τοῦ Χίου, ἰατροῦ καὶ θεολόγου Περὶ τῆς τοῦ πάπα ἀρχῆς."—γ'. "**Τοῦ αὐτοῦ** περὶ καθαρτηρίου πυρός." —δ'. "**Τοῦ αὐτοῦ** Περὶ ἀπολαύσεως τῶν ἁγίων."

Ὁ κῶδιξ σύγκειται ἐκ δύο μερῶν, ὧν τὸ μὲν πρῶτον (ἀρ. 1—3) XV αἰῶνος, τὸ δὲ δεύτερον (ἀρ. 4) XVII. Ἐν τέλει τοῦ ὑπ' ἀρ. 4 α'. Ἐν ἔτει ‚ζρκηῳ' μηνὶ Νοεμβρίῳ α' (=1619) διὰ χειρὸς ἐμοῦ τοῦ εὐτελοῦς Ἰγνατίου ἐλαχίστου τοῦ ἐκ τῆς μονῆς τοῦ τιμίου Προδρόμου, ἤτοι τοῦ κῦρ Διονυσίου, ἐν Χίῳ τῇ νήσῳ.

3685. 151. Χαρτ. φύλλ. XVII.

1. Βίος ὁσίας Εὐπραξίας.

Ἀρχ. (ἀκέφ.)...καὶ πέρνοντας καὶ αὐτὴν μὲ τοῦ λόγου της ἔτυχε μίαν τῶν ἡμερῶν καὶ ἐφάνηκε τῆς καθηγουμένης νὰ μετεωρισθῇ τάχατες πρὸς τὸ κοράσιον.

Τὰ τελευταῖα τρία φύλλα ἀπεσχισμένα.

2. Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος.

Ἐν τέλει· Οἱ παρόντες δύο βίοι (ἀρ. 1 καὶ 2) ἐγράφησαν παρ' ἐμοῦ τοῦ ἐν ἱερομονάχοις ἐλαχίστου [**Ἰγνατίου**] καὶ ἐμετεβλήθησαν εἰς κοινὴν φράσιν εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων...ἐν ἔτει ‚ζριηῳ μηνὶ Ἰουλίῳ κ' (=1610).

3. Βίος καὶ πολιτεία τῆς ὁσίας Εἰρήνης.

4. Βίος καὶ πολιτεία Ἀθανασίου Κωνσταντινουπόλεως.

5. **Γρηγορίου τοῦ Θεολόγου**

α'. Εἰς τὴν ἀνάστασιν τοῦ Χριστοῦ καὶ εἰς τὴν βραδυτῆτα. —β'. Εἰς τὸ Πάσχα.—γ'. Εἰς τὴν νέαν Κυριακὴν καὶ τὸ ἔαρ καὶ εἰς τὸν μάρτυρα Μάμαντα.

6. "Ὑπόμνημα εἰς τὴν ἐπωνυμίαν τῆς ἀχράντου καὶ προσκυνητῆς εἰκόνος τῆς παναμώμου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς Ῥωμαίας, συγγραφεὶς παρὰ τοῦ κυροῦ **Συμεὼν τοῦ λογοθέτου μεταφραστοῦ.**"

7. "Λατινικαὶ προτάσεις καὶ συλλογιστικαὶ ἀποδείξεις κατὰ Γραικῶν, μᾶλλον δὲ κατὰ τῆς τοῦ Χριστοῦ ἐκκλησίας ὅτι καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον, συλλεγεῖσαι παρὰ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου καὶ σοφωτάτου ἀρχιεπισκόπου **Θεσσαλονίκης** κῦρ **Νείλου** τοῦ **Καβάσιλα** καὶ ὑπ' αὐτοῦ θεολογικῶς τε καὶ πάνυ σοφῶς καὶ θεοπνεύστως ἀνατραπεῖσαι."

8. "Τοῦ **αὐτοῦ** ἁγιωτάτου καὶ ἀοιδίμου καὶ σοφωτάτου ἀρχιεπισκόπου **Θεσσαλονίκης** κῦρ **Νείλου** Κατὰ Λατίνων ἐκ τοῦ ἐναντίου πρὸς τὸ συμπέρασμα." (κολοβ.).

Ἴδ. καὶ 3672 (138), 3681 (147), 1.

9. **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Περὶ τῶν ἐν πίστει κεκοιμημένων.

10. **Ἐφραὶμ τοῦ Σύρου** Περὶ Ἀντιχρίστου καὶ περὶ συντελείας τοῦ κόσμου.

11. **Βασιλείου τοῦ μεγάλου** Εἰς τὸ Πρόσεχε σεαυτῷ.

12. **Τοῦ αὐτοῦ** Περὶ εὐχαριστίας (κολοβ.).

Τὰ ὑπ' ἀρ. 1, 2 καὶ 4 ἐν τῇ καθωμιλημένῃ.

Ὁ κῶδιξ σύγκειται ἐκ δύο μερῶν (ἀρ. 1—8, 9—12), ἀμφοτέρων τοῦ XVII αἰῶνος, ὧν τὸ δεύτερον γέγραπται κατὰ δύο σελίδας.

3686. 152. Χαρτ. φύλλ. XIII. (σ. 1015).

Γρηγορίου τοῦ Θεολόγου Λόγοι μεθ' ἑρμηνείας.

αʹ. "Ἔκθεσις ἐν ἐπιτομῇ τῆς ὀρθοδόξου καὶ μόνης τῶν Χριστιανῶν ἡμῶν πίστεως."—βʹ. "Διάλογος ἐν Χριστῷ κατὰ πασῶν τῶν αἱρέσεων..."—γʹ. Ἑρμηνεία "περί τε τοῦ θείου ναοῦ καὶ τῶν ἐν αὐτῷ ἱερέων τὲ πέρι καὶ διακόνων..."—δʹ. "Ἑρμηνεία συνοπτικὴ κατα δύναμιν, εἰς τὸ τῆς ὀρθοδόξου καὶ ἀμωμήτου ἡμῶν πίστεως τῶν Χριστιανῶν θεῖον καὶ ἱερὸν σύμβολον."—εʹ. "Ἔκθεσις τοῦ αὐτοῦ ἀναγκαιοτάτη, περὶ τῶν τοῦ ἱεροῦ συμβόλου ῥήσεων..."—ϛʹ. "Περιεκτικὰ ὡς δυνατὸν, τῆς μόνης τῶν Χριστιανῶν ἡμῶν πίστεως, κεφάλαια δώδεκα, ἅπερ τινὲς ἄρθρα καλοῦσι τῆς πίστεως .."—ζʹ. "Ἀποκρίσεις πρὸς τὰς ἐρωτήσεις τοῦ ἱερωτάτου μητροπολίτου Πενταπόλεως κυροῦ Γαβριήλ."—ηʹ. "Περὶ ἱερωσύνης πρός τινα τῶν εὐλαβῶν μοναχῶν..."—θʹ. "Ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου **Θεσσαλονίκης** κυροῦ **Συμεὼν**, προτρεπτικὴ πρὸς σωτηρίας ὁδὸν, ἀποσταλεῖσα ἐν ταῖς κατὰ πᾶσαν τὴν ἐπαρχίαν αὐτοῦ ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις." Ἀρχ. Συμεὼν ἐλάχιστος δοῦλος Ἰησοῦ Χριστοῦ κατὰ χάριν αὐτοῦ καὶ ἔλεος ἀρχιεπίσκοπος Θεσσαλονίκης ταῖς ἐν πάσῃ τῇ Θετταλίᾳ ἁγίαις ἐκκλησίαις.—ιʹ. "Τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου **Θεσσαλονίκης** κυροῦ **Συμεὼν** Ἐπιστολὴ πρότερον μὲν γραφεῖσα εἰς στηριγμὸν εὐσεβείας πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ πιστούς, τοὺς κατα Καισάρειαν καὶ Ἀγκηράν τε καὶ Γαγγάκρα διά τινος διακόνου τοῦτο ζητήσαντος, ὕστερον δὲ πλατυνθεῖσα μικρὸν καὶ τοῖς περὶ τὴν Θετταλίαν ἐκδοθεῖσα" (κολ.).

3725. 191. Χαρτ. 8. XV.

1. **Νικήτα Δαυῒδ** (;) Ἑρμηνεία εἰς στίχους **Γρηγορίου τοῦ Θεολόγου.**

Διῄρηται εἰς βραχέα κεφ. νθʹ κειμένου, ὧν ἕκαστον προηγεῖται τῆς οἰκείας ἑρμηνείας. Ἀκέφαλος δὲ ὢν ὁ κῶδιξ ἄρχεται ἀπὸ τῆς ἑρμηνείας τοῦ ϛʹ κεφ. διὰ τῶν ἑξῆς· καὶ ὑψωνται καὶ ὑψωθήσονται καὶ γὰρ οὐ τῶν εὐλάλων καὶ εὐγλώττων καὶ κεκοψευμέναις κεχρημένων λέξεσι καθέστηκεν ἡ χάρις.—Κεφ. ζʹ. Κείμενον. Δῶρον Θεοῦ κάλλιστον ἐστὶν ὁ τρόπος,—κἂν παντ' ἐνέγκης, οὐδὲν οἴσῃς ἄξιον·—δ καὶ πένης δίδωσι, τοῦτο πρόσφερε·—μίσθωμα πόρνης, ἁγνῶς οὐ μερίζεται. Ἑρμηνεία· ἄρχ. Ἐπειδὴ τινὲς βίῳ μὲν ἀνάγνῳ χρῶνται.

2. **Γρηγορίου τοῦ Θεολόγου** Οἱ ιϛʹ ἀναγινωσκόμενοι λόγοι.

Προτάσσονται "Πρόλογοι εἰς τοὺς ιϛʹ λόγους τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου."

3. "Συναγωγὴ καὶ ἐξήγησις ὧν ἐμνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν **Γρηγόριος ὁ Θεολόγος** ἐν τῷ εἰς Βασίλειον τὸν μέγαν ἐπιταφίῳ λόγῳ οὗ ἡ ἀρχὴ Ἔμελλεν ἄρα."

3726. 192. Χαρτ. 8. XV. σελ. 2.

1. **Γρηγορίου τοῦ Παλαμᾶ** Συγγραφαί.

αʹ. "**Γρηγορίου** ἀρχιεπισκόπου **Θεσσαλονίκης**, Λόγος ἀποδεικτικὸς πρῶτος, ὅτι οὐχὶ καὶ ἐκ τοῦ υἱοῦ, ἀλλ' ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον."—βʹ. "Εἰς τὰς ὑπὲρ Λατίνων παρὰ τοῦ Βέκκου συλλεγείσας γραφικὰς χρήσεις ἐπιγραφαὶ (ιβʹ), πρὸς ἃς αἱ καθεξῆς **τοῦ μακαριωτάτου Θεσσαλονίκης** ἀντεπιγραφαί."—γʹ. "Ἐπίτομος κατὰ τὸ δυνατὸν διήγησις τῆς ἐπὶ τοῦ παλατίου ἐνώπιον τοῦ βασιλέως γενομένης διαλέξεως **τοῦ Θεσσαλονίκης** κυροῦ **Γρηγορίου** καὶ [**Νικηφόρου**] **Γρηγορᾶ** τοῦ φιλοσόφου· συγγραφεῖσα παρά τινος τῶν τῆς συγκλήτου λογάδων, παρόντος καὶ αὐτηκόου γεγονότος."—δʹ. "**Τοῦ αὐτοῦ**· ἤτοι τοῦ μακαριωτάτου Θεσσαλονίκης ὡς ἀπό τινος ἑτέρου συγγραφεὶς περὶ τῆς τοῦ Γρηγορᾶ ψευδογραφίας ὁμοῦ καὶ δυσσεβείας." Λόγοι βʹ.—εʹ. "**Τοῦ αὐτοῦ** Πρὸς τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην· ἔλεγχος εἰς τὸ θειότατον φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, παντοδαπῆς τοῦ Γρηγορᾶ βλασφημίας, καὶ παράστασις ἐξ ἀντιθέσεως, ὅτι ἄκτιστον τοῦτό ἐστιν ὡς ἀληθῶς καὶ ἀΐδιον."—ϛʹ. "Ἔλεγχος ἔτι τῆς εἰς τὸ θειότατον φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, παντοδαπῆς τοῦ Γρηγορᾶ βλασφημίας, καὶ παράστασις ἔτι διὰ πλειόνων, ὅτι ἄκτιστον τοῦτό ἐστιν ὡς ἀληθῶς καὶ ἀΐδιον, οὐχὶ θεία φύσις..."—ζʹ. "**Τοῦ αὐτοῦ** ἐπιστολὴ πρὸς τὸν ἐρωτήσαντα περὶ τῆς ἐγκειμένης τῷ συνοδικῷ τόμῳ τοῦ μεγάλου Βασιλείου ῥήσεως καὶ παρὰ τοῦ Γρηγορᾶ συκοφαντουμένης ὡς μὴ γνησίας."

2. "Συνοδικὸς τόμος, ἐπικυρῶν τὸν ἐπ' ἐλέγχῳ καὶ καταδίκῃ τῶν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δογμάτων πρότερον τόμον, καὶ σὺν Ἀκινδύνῳ πάλιν ἐξελέγχων καὶ καθαιρῶν τὸν ὕστερον ὁμόφρονα καὶ προστάτην αὐτοῦ γενόμενον πατριάρχην, Ἰωάννην τὸν ἐπικαλούμενον Καλέκαν."

Ἴδ. ἀρ. 3681 (147), 6.

3. "Τοῦ αὐτοῦ· ἤτοι τοῦ μακαριωτάτου **Θεσσαλονίκης Γρηγορίου** Λόγος περὶ τῆς κατὰ σάρκα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἰκονομίας καὶ τῶν δι' αὐτῆς κεχαρισμένων, τοῖς ὡς ἀληθῶς εἰς αὐτὸν πιστεύουσι· καὶ ὅτι πολυτρόπως ὁ Θεὸς δυνάμενος τῆς τοῦ διαβόλου τυραννίδος λυτρώσασθαι τὸν ἄνθρωπον, εἰκότως ταύτῃ μᾶλλον ἐχρήσατο τῇ οἰκονομίᾳ."

4. "Ἴσον τῆς γενομένης περὶ τοῦ πατριάρχου ἀναφορᾶς πρὸς τὴν ἁγίαν δέσποιναν παρὰ τῶν σχολαζόντων καθ' ἑαυτοὺς ἀρχιερέων." Ἀρχ. Κρατίστη καὶ ἁγία ἡμῶν κυρία καὶ δέσποινα. Ἐν τέλει ὑπογραφαὶ πέντε μητροπολιτῶν καὶ ἑνὸς ἀρχιεπισκόπου.

*3727. 193. Χαρτ. 8. XV.

1. **Ἰωάννου τοῦ Σχολαστικοῦ** Κλίμαξ.

Προτάσσονται αʹ. "**Δανιὴλ** ταπεινοῦ **μοναχοῦ** **Ῥαϊθοῦ** Εἰς τὸν βίον τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἐπίκλη Σχολαστικοῦ."—βʹ. "Πίναξ ἄριστος τῆς λογογράφου βίβλου."—γʹ. "Βίος ἐν ἐπιτομῇ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Σχολαστικοῦ τοῦ συγγραφέως τῆς παράσης βίβλου τῆς Κλίμακος."—δʹ. "Ἐπιστολὴ τοῦ ἀββᾶ **Ἰωάννου ἡγουμένου τῆς Ῥαϊθοῦ** πρὸς τὸν ὅσιον Ἰωάννην τὸν Σχολαστικὸν τοῦ Σινᾶ ὄρους ἡγούμενον."—εʹ. "Τοῦ καθηγουμένου τοῦ Σινᾶ ὄρους [**Ἰωάννου τοῦ Σχολαστικοῦ**] Ἀντίγραφον πρὸς τὸν τὴν ἀναγραμένην ἐπιστολὴν ἐπιστείλαντα."—ϛʹ. "Ἐπίγραμμα εἰς τὴν Κλίμακα."

Ἐπὶ δὲ τούτοις ἀμέσως πρὸ τῆς συγγραφῆς Ἰωάννου τοῦ Σχολαστικοῦ ἡ εἰκὼν τῆς Κλίμακος.

Ἐν τέλει· Θεοῦ τὸ δῶρον, Μανουὴλ πόνος.

2. "Ἑρμηνία τοῦ τρισμερους τῆς ψυχῆς."

Τὸ ὑπ' ἀρ. ἐν ὅλῳ ἐκ δύο μόνον σελίδων.

3728. 194. Χαρτ. 8. XIV.

1. Κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου Συγγραφή (ἀκέφ.).

Ἀρχ....ἐστι θεότης ὑφειμένη δῶρον οὖσα τῆς ὑπερκειμένης. Ταῦτα γοῦν τὰ ῥήματα καὶ ἡ φράσις τοῦ Βαρλαὰμ ἐστὶ, πρῶτον μὲν αὐτοῦ τοῦτο φρονήσαντος κακῶς καὶ κατὰ δυσσεβῆ διάνοιαν.

Ἐμπεριέχονται πλεῖστα χωρία **πατέρων**.

2. "**Φακρασῆ τοῦ πρωτοστράτορος**

Ἐπίτομος κατὰ τὸ δυνατὸν διήγησις παρόντος καὶ αὐτηκόου γεγονότος τῆς ἐπὶ τοῦ παλατίου ἐνώπιον τοῦ βασιλέως κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου γενομένης διαλέξεως τοῦ Θεσσαλονίκης κυροῦ Γρηγορίου καὶ Γρηγορᾶ τοῦ φιλοσόφου Νικηφόρου, Ἀκινδυνιανοῦ γεγονότος. Παρῆν τηνικαῦτα καὶ ὁ λεγάτος."

Ἀρχ. "*Ὁρισθεὶς παρὰ τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἤρξατο ὁ Θεσσαλονίκης λέγειν καὶ ἦν σκοπὸς αὐτῷ τοῦ προοιμίου ὅτι δεῖ μετ' εἰρήνης γίνεσθαι τὰς περὶ τῶν θείων δογμάτων διαλέξεις.*"

Ἕπονται χωρία καὶ ἀποσπάσματα κατὰ τῶν Ἀκινδυνιανῶν ἐκ τῶν κανόνων **Κοσμᾶ τοῦ Ἱεροσολυμίτου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἰωάννου τοῦ Δαμασκηνοῦ, ἁγίου Μαξίμου, Βασιλείου τοῦ μεγάλου** *καὶ ἄλλων.*

3. "Περὶ τῆς θείας χάριτος ἢ περὶ τοῦ θείου φωτὸς

τοῖς κτίσμα δοξάζουσι τὴν θείαν χάριν
πάσας ἐνεργείας τε σεπτῆς Τριάδος
καὶ τὰς θεουργοὺς δωρεὰς τὰς ἀφθόνους
Ματθαῖος *ἀνθίστησι τόνδε τὸν λόγον.*"

Ἀρχ. *Εὐσύνοπτον βούλομαι καὶ καθόσον οἷόν τε σαφῆ λόγον ποιήσασθαι περὶ τῶν νυνὶ κεκινημένων δογμάτων.*

4. "Τοῦ δυσσεβοῦς **Καλαβροῦ Βαρλαὰμ**

Ἀσεβὴς δόξα περὶ τοῦ ἀπροσίτου καὶ ἀϊδίου καὶ ἀκτίστου φωτὸς τῆς μεταμορφώσεως τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ."

5. "Ἔτι **τοῦ αὐτοῦ** Κατηγορίαι πρὸς πάντας ἁγίους

τοὺς διὰ τῆς ἡσυχίας καὶ καθαρᾶς προσευχῆς καὶ τῆς τοῦ νοῦ ἐπιστασίας καὶ νήψεως τοῦ παραδείσου ἐκληρώσαντο."

6. "Τοῦ Ἀκινδυνιανοῦ δυσσεβοῦς **Γρηγορᾶ**

φιλοσόφου Συνεσκιασμένη καὶ ἐπίκρυπτος καὶ ὕφαλος ὁμολογία ἣν ἀπέστειλλε τῃ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ ἔτι ζῶντος ὥστε συγχωρηθῆναι τοῦ ἀφορισμοῦ."

7. "Τοῦ πανιερωτάτου **Θεσσαλονίκης κυροῦ Νείλου τοῦ Καβάσιλα** *Ὡς ἐκ προσώπου τῆς ἱερᾶς συνόδου πρὸς τὸν φιλόσοφον Γρηγορᾶν ἀντίγραμμα.*"

8. "Κεφάλαια λατινικὰ δώδεκα· ἐπιγραφὴ δὲ πρώτως πρώτη Λατίνων."

Μετὰ τῶν ἀντεπιγραφῶν **Γρηγορίου τοῦ Παλαμᾶ.**

9. "Διάλογος **Νεοφύτου** μοναχοῦ **Προδρομηνοῦ** πρὸς Λατῖνον."

Ἀρχ. *Οὐδὲν τῆς φιλαδελφίας καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης τῷ Θεῷ περιμάχητον τῶν ὄντων καθέστηκεν.*

10. "Γνῶμαι χρήσιμοι **Κάτωνος** Ῥωμαίου

ἃς ἐκ τῆς Λατίνων γλώσσης εἰς τὴν Ἑλλάδα μετήνεγκεν ὁ φιλοσοφώτατος καὶ λογιώτατος μοναχὸς κῦρος **Μάξιμος ὁ Πλανούδης.**"

11. "Ὁ κατὰ τοῦ Καλαβροῦ Βαρλαὰμ συντεθεὶς

Συνοδικὸς τόμος ὡς ἀποδειχθέντος κακοδόξου καὶ μὴ κατὰ τοὺς ἁγίους πατέρας καὶ φρονοῦντος καὶ δογματίζοντος συγκαθημένου καὶ συναποφαινομένου τῷ ἁγιωτάτῳ καὶ οἰκουμενικῷ πατριάρχῃ κυρῷ Ἰωάννῃ καὶ τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου βασιλέως κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου καὶ τὴν μὲν ἀπόφασιν ἐξενηνεγμένην παρουσίᾳ βασιλικῇ τὸν δὲ τόμον μετὰ θάνατον αὐτοῦ ἐκτεθέντα (ἐν τῇ ὥρᾳ· ἐπειδὴ ἐφεξῆς μιᾷ ἑβδομάδι ἔζησε· νοσῶν γὰρ ἦν) καὶ ἐπιγραφέντα κατὰ μῆνα Αὔγουστον τῆς θ' ἰνδ. τοῦ ϛωμθ' ἔτους."

Ἀρχ. *Ἐπαινετὸς ἀληθῶς ὁ εἰπὼν τὴν ταπείνωσιν ἀληθείας εἶναι ἐπίγνωσιν.*

12. "Τόμος ἕτερος ἁγιορειτικὸς..."

Ἰδ. ἀρ. 3681 (147), 5.

13. "Ὁ καθολικὸς καὶ περιληπτικὸς

καὶ ἐξεταστικὸς διὰ πολλῶν καὶ ἱερῶν συνόδων πάντων κεφαλαίων θεῖος τόμος τῆς δυσσεβοῦς αἱρέσεως Βαρλαὰμ τε καὶ Ἀκινδύνου, συγκαθημένου καὶ συναποφαινομένου τοῖς ἁγιωτάτοις καὶ οἰκουμενικοῖς πατριάρχαις τῷ τε κυρῷ Ἰσιδώρῳ ἐκείνῳ καὶ τῷ Ἱεροσολύμων κυρῷ Λαζάρῳ καὶ τῷ μετ' αὐτῶν κυρῷ Καλλίστῳ καὶ ταῖς θείαις καὶ ἱεραῖς συνόδοις καὶ τοῖς ἱερωτάτοις καὶ λογάσι τῆς μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας καὶ τοῖς ἐνδοξοτάτοις τῶν συγκλητικῶν καὶ τῶν τῆς βουλῆς καὶ τοῖς ἐντιμωτάτοις καὶ πρώτοις τῆς πολιτείας, τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ αὐτοκράτορος κυροῦ Ἰωάννου τοῦ Καντακουζηνοῦ καὶ ὑπογραφεὶς καὶ ἐπικυρωθεὶς κατὰ μῆνα...(χῶρος ἄγραφος) τοῦ ,ϛωνϛ' ἔτους τῆς ιε' ἰνδικτιῶνος."

Ἀρχ. *Οὔτε τὴν κατὰ τῆς ἐκκλησίας τοῦ κοινοῦ πολεμίου μανίαν ἀγνοεῖν οὐδένα νομίζομεν.*

14. [**Θεοφάνους Νικαίας**] "Διάλεξις ὀρθοδόξου μετὰ Βαρλααμίτου

κατὰ μέρος ἀνασκευάζουσα τὴν Βαρλααμίτιδα πλάνην."

Ἀρχ. *Ὀρθόδ. Μαθεῖν ἐβουλόμην παρ' ὑμῶν τῶν ζητούντων καὶ ἐπεκδικούντων τὰ λείψανα τοῦ συνοδικῶς ἐξεληλεγμένου κακοδόξου Βαρλαὰμ τίνα εἰσίν, ἃ κατ' ἐκεῖνον ἡμῖν αὖθις ἀρτίως ἐγκαλεῖτε.*

Ἰδ. καὶ 3752 (218), 3.

15. Ἐκ τῶν τοῦ **Ἰωάννου τοῦ Χρυσοστόμου**

α'. "*Ἐκ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς Ἠθικὸν ὁμιλίας ϛ' τοῦ* **Χρυσοστόμου** *κατὰ Ἑλλήνων.*" Ἀρχ. *Μὴ τοίνυν τὸ μὴ γίνεσθαι νῦν σημεῖα τεκμήριον ποιοῦ.* —β'. "*Τοῦ αὐτοῦ Ἠθικὸν ἀπὸ τῆς ζ' ὁμιλίας τῆς αὐτῆς πρώτης ἐπιστολῆς.*" Ἀρχ. *Ὁρᾷς ὅτι καὶ συνέφερεν οὕτω μᾶλλον μαθεῖν παρὰ τοῦ πνεύματος.*—γ'. "**Τοῦ αὐτοῦ** *Ἠθικὸν ἐκ τοῦ δευτέρου λόγου τῶν ἀποστολικῶν πράξεων κατὰ Ἑλλήνων.*" Ἀρχ. *Εἴ τις ἐπιθυμεῖ τὸν Χριστὸν ἰδεῖν.* —δ'. "**Τοῦ αὐτοῦ** *Ἠθικὸν ἐκ τοῦ δ' λόγου τῶν ἀποστολικῶν πράξεων κατὰ Ἑλλήνων.*" Ἀρχ. *Τοιοῦτόν ἐστιν ἄνδρα εἶναι πνευματικόν.*—ε'. "**Τοῦ αὐτοῦ** *Ἐκ τοῦ κα' λόγου Ἠθικὸν τῶν ἀποστολικῶν πράξεων.*" Ἀρχ. *Ἀκούσατε παρακαλῶ εἰ καὶ μὴ τοιοῦτόν τι γίνεται.*

16. "**Νεοφύτου Προδρομηνοῦ** μοναχοῦ

Κεφαλαιώδης ἀπόδειξις πρός τινα Ἑλληνόφρονα ὅτι ἓν καὶ τρία ἐστὶν ὁ κυρίως καὶ ἀληθῶς καὶ φύσει μόνος Θεὸς τῶν Χριστιανῶν."

Ἀρχ. *Δέον τοὺς δούλους ἀεὶ πρὸς τοὺς οἰκείους δεσπότας εὐνοεῖν.*

17. Ἐκ τῶν τοῦ **Ἰωάννου Χρυσοστόμου.**

α'. "*Ἐκ τῆς πρὸς Κορινθίους δευτέρας ἐπιστολῆς Ἠθικὸν τοῦ ζ' λόγου τοῦ* **Χρυσοστόμου.**" Ἀρχ. *Λειτουργούντων γὰρ αὐτῶν καὶ νηστευόντων τῷ Κυρίῳ φησὶν εἶπε τὸ πνεῦμα.*—β'. "**Τοῦ αὐτοῦ** *Ἠθικὸν λόγου δευτέρου ἐκ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς κατὰ Ἑλλήνων.*" Ἀρχ. *Εἰ μὲν γὰρ εἰς ἐπίπονον καὶ ἐπίμοχθον ἐκάλει πρᾶγμα.* —γ'. "**Τοῦ αὐτοῦ** *Μέρος τοῦ τετάρτου λόγου τῆς αὐτῆς πρώτης ἐπιστολῆς κατὰ Ἑλλήνων καὶ Ἠθικόν.*" Ἀρχ. *Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖα αἰτοῦσι καὶ Ἕλληνες σοφίαν ζητοῦσιν.* —δ'. "**Τοῦ αὐτοῦ** *Ἠθικὸν τοῦ ια' λόγου τῆς πρὸς Κορινθίους ἐπιστολῆς.*" Ἀρχ. *Ὅταν οὖν καὶ ἐν τῷ μηδὲν*

ἑαυτοῖς συνειδέναι.—ε'. "'Ηθικὸν τοῦ αὐτοῦ πατρὸς **Χρυσοστόμου** *τοῦ θείου τῆς κγ' ὁμιλίας τῆς α' πρὸς Κορινθίους ἐπιστολῆς."* "Αρχ. *Μὴ τοίνυν φρόνει μέγα ὦ ἄνθρωπε.* —ς'. "'Εκ τῆς πρὸς Κορινθίους πρώτης ἐπιστολῆς τοῦ μεγάλου Παύλου 'Εξήγησις τῆς κθ' ὁμιλίας τοῦ θείου **Χρυσοστόμου** *πρὸς τὸ ῥητὸν τὸ λέγον..."* "Αρχ. *Τοῦτο ἅπαν τὸ χωρίον σφόδρα ἐστὶν ἀσαφές.*—ζ'. "'Εκ τοῦ τετάρτου λόγου τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου 'Ηθικὸν δ' τοῦ **Χρυσοστόμου** *ὅτι δεῖ τὸν πιστὸν καὶ βίον ἔχειν ὀρθόν."* "Αρχ. *'Επεὶ οὖν τοσαύτης ἀπελεύσαμεν δωρεᾶς πάντα ποιῶμεν.*

18. **Βασιλείου τοῦ μεγάλου** Περὶ ταπεινοφροσύνης.

19. "'Επιστολὴ **Ποντίου** Πιλάτου πεμφθεῖσα πρὸς τὸν καίσαρα Τιβέριον."

20. "Τὰ ἀντιγραφέντα παρὰ καίσαρος **Τιβερίου** καὶ πεμφθέντα πρὸς Πιλάτον."

21. "Διήγησις θαυμαστὴ Θεοδοσίου *τοῦ ἐξ 'Ιουδαίων τοῦ ὁμολογήσαντος τὸν κύριον ἡμῶν 'Ιησοῦν Χριστὸν τοῦ Θεοῦ τοῦ ζῶντος εἶναι υἱόν."*
"Αρχ. *'Εν τοῖς χρόνοις τοῦ εὐσεβεστάτου βασιλέως Ιουστινιανοῦ γέγονεν ἄνθρωπός τις ἀρχηγὸς τῶν 'Ιουδαίων Θεοδόσιος ὄνομα αὐτῷ.*

22. "'**Ιωσήπου τοῦ 'Ιουδαίου** Περὶ τοῦ κυρίου *ἡμῶν 'Ιησοῦ Χριστοῦ ὅτι Θεός ἐστιν ἐκ τοῦ ιη' λόγου τῆς ἀρχαιογονίας."*

23. 'Αποσπάσματά τινα **πατέρων**.

24. "**Νεοφύτου Προδρομηνοῦ** μοναχοῦ *Πρὸς Λατῖνον ἀντιλογία λέγοντα ὅτι ὀφείλει τῇ παλαιᾷ 'Ρώμῃ οἷα μητρὶ τῶν ἐκκλησιῶν πασῶν τὰ πρεσβεῖα καὶ αὐτῇ τὰς ἄλλας ὑπείκειν τε καὶ διδόναι."*
"Αρχ. *"Ω σοφώτατοι Λατίνων εὖγε ὑμῖν τῆς ἀγχινοίας.*

25. "Τοῦ μεγάλου **Χρυσοστόμου** *'Απὸ τῆς ἐξηγήσεως τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου ἐκ τῆς πβ' ὁμιλίας περὶ τοῦ ἁγίου ἄρτου καὶ περὶ τοῦ Πάσχα."*
"Αρχ. *Τί δή ποτε τότε κατὰ τὸν καιρὸν τοῦ Πάσχα.*

26. "**Νεοφύτου** ἁμαρτωλοῦ καὶ **Προδρομηνοῦ** *μοναχοῦ 'Αντιλογίαι περὶ τοῦ τύπου τοῦ θείου καὶ ζωοποιοῦ σταυροῦ πρὸς αἱρετικούς."*
"Αρχ. *'Απορεῖς ἡμᾶς ὦ οὗτος ὅτου χάριν σημειούμενοι ἑαυτοὺς τῷ δεσποτικῷ σταυρικῷ σημείῳ προσκυνοῦμεν σχετικῶς τὴν ἁγίαν εἰκόνα αὐτοῦ.*

27. "'Απορία περὶ τῆς ἐπιγραφῆς τῶν ἁγίων *εἰκόνων τοῦ Χριστοῦ καὶ τῆς Θεοτόκου πῶς τὴν μὲν τοῦ Χριστοῦ ἐπιγράφομεν* Ἰς Χς, *τὴν δὲ* Μῆρ Θῦ."
"Αρχ. *Οὐκ ἀφυῶς οὐδ' ἀσυλλογίστως ἀγαπητὲ τοῦτο ἡ τοῦ Θεοῦ ἐκκλησία ποιεῖ.*

28. "Τοῦ ἁγίου **Μαξίμου** Περὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων."
"Αρχ. *'Ο "Αρειος τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖ.*

29. "'Απολογία πρὸς Λατῖνον λέγοντα *ὅτι τῷ πάππᾳ ἡμῶν ὀφείλομεν ὑπείκειν."*
"Αρχ. *Καὶ σὺ μὲν λέγεις κατὰ πάντα ὑπείκεις τῷ σφετέρῳ πάππᾳ.*

30. "Πρὸς τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον *Πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίειν ἐσθίετε."*
"Αρχ. *Οἱ Λατῖνοι ὥσπερ ἐν τοῖς ἄλλοις θείοις φαίνονται.*

31. "'Απορία ἑτέρα Λατίνου περὶ τῆς Παναγίας."
"Αρχ. *'Επιτωθάζουσιν ἡμᾶς οἱ Λατῖνοι καὶ ἐν τούτῳ τῆς εὐσεβείας.*

32. "Πρὸς τοὺς ἀποροῦντας τίς μᾶλλον ἄγγελος *ἢ ἄνθρωπος καὶ δι' ἣν αἰτίαν ὁ ἄγγελος γέγονεν."*
"Αρχ. *'Ο Θεὸς μὲν ἦν ἀεὶ καὶ ἔστι καὶ ἔσται.*

33. "'Απορία περὶ τοῦ θείου ἄρτου *καὶ τοῦ ἀντιδώρου καὶ πῶς πρῶτον λέγεται καὶ πῶς δεύτερον καὶ πῶς ναστὸν καὶ πλήρη καὶ ἔνζυμον ἄρτον εἰς θυσίαν λαμβάνομεν."*

34. "Περὶ τοῦ τίς μείζων ἐν δόξῃ ὁ θεῖος Σταυρὸς *ἢ ἡ ὑπεραγία Παρθένος καὶ Θεοτόκος."*
"Αρχ. *Τίς με πειράζων δεινὸν προσήνεγκε.*

35. "Τοῦ αὐτοῦ **μοναχοῦ Νεοφύτου** *Πρόχειρος ἀντιλογία πρὸς τὸν Βαρλαὰμ καὶ 'Ακίνδυνον ὅτι ἄλλο οὐσία καὶ ἄλλο ἐνέργεια αὐτῆς ἐπὶ παντὸς πράγματος εἰ καὶ ἅμα τὸ εἶναι ἔχουσιν."*
"Αρχ. *Καὶ περὶ μὲν οὐσίας καὶ τῆς αὐτῆς θείας ἐνεργείας πειρωμένῳ μοι λέγειν.*

36. ""Οτι ὁ 'Ακίνδυνος πρὸς τοῖς ἄλλοις κακοῖς *καὶ τὸ ἐν Θαβωρίῳ πρὸς αὐτοῦ Χριστοῦ ἐκλάμψαν τοῖς ἁγίοις 'Αποστόλοις φέρει κτίσμα καὶ συμβεβηκὸς διδάσκει..."*
"Αρχ. *Εἰ τὸ ἐν Θαβωρίῳ φῶς κατὰ σὲ 'Ακίνδυνε συμβεβηκὸς ἦν ἤγουν χρωματισμὸς ἀέρος.*

37. "'Αντιλογία πρὸς τοὺς ἀποροῦντας ἡμᾶς *ὅτι μετὰ τὸ ἀφαιρεθῆναι τὸ εἰς δόξαν τῆς Παναγίας ψωμίον ἐκ τοῦ ὅλου ἄρτου δεῖ συναφαιρεῖν καὶ τὰ πέριξ αὐτοῦ εἰς τιμὴν τῆς ἁγίας "Αννης καὶ ταῦτα μὴ τοῖς πολλοῖς ἐσθίεσθαι."*
"Αρχ. *Φίλον τοῖς σπουδαίοις τὸ παραβάλλειν ἐκ διαλειμμάτων ἐν τοῖς ὁμοίοις συνουσίας χάριν.*

38. "'Απόδειξις γεωμετρικὴ ὅτι τὸ εἰς τιμὴν *καὶ δόξαν τῆς Παναγίας μετὰ τὴν ἐσθίασιν λαμβανόμενον ψωμίον ἁγιαζόμενον δὲ τῇ ἐπικλήσει τῆς μακαρίας Τριάδος τριγώνῳ σχήματι ὀφείλει τέμνεσθαι..."*
"Αρχ. *'Αρχὴ παντὸς σχήματος καὶ αἰτία τὸ σημεῖον ἤτοι ἡ στιγμή ἐστι.*

39. "Περὶ τοῦ προαγιαζομένου ἄρτου τῆς μεγάλης Πέμπτης..."
"Αρχ. *"Οτου χάριν ἀπορήσας μέ τις τῶν λίαν ἐπεσκεμμένων ὁ μὲν ἄρτος τῆς προσκομιδῆς τῆς μακρᾶς Πέμπτης ἁγιαζόμενος τηρεῖται μέχρι καὶ τῆς πρώτης τοῦ Αὐγούστου.*

40. "Δι' ἣν αἰτίαν λαμβάνομεν εἰς τὸ ἅγιον *βάπτισμα τὸ ὕδωρ τὸ ψυχρὸν τὸ εὔκρατον τὸ ἔλαιον καὶ τὸ μύρον."*
"Αρχ. *Τίς με ποτε τῶν φιλολόγων καὶ σπουδαίων ἠπόρησεν ὅτου χάριν φάμενος ἐν τῷ θείῳ βαπτίσματι λαμβάνομεν τὸ ὕδωρ.*

41. "Τοῦ σοφοῦ κυροῦ **Νικολάου τοῦ Καβάσιλα** *'Εξήγησις εἰς τὴν ὅρασιν τοῦ προφήτου* **'Ιεζεκιήλ**."
"Αρχ. *Πᾶσα προφητεία καὶ θεωρία καὶ ὅρασις εἰκόνες ἦσαν τῆς τοῦ Σωτῆρος ἐπιδημίας.*

Προτάσσεται ἑκάστοτε βραχὺ μέρος τοῦ κειμένου εἰς ὃ ἕπεται ἡ οἰκεία ἑρμηνεία.

42. "**Νεοφύτου** ἁμαρτωλοῦ καὶ **Προδρομηνοῦ** *μοναχοῦ Τετράστιχα ἰαμβικὰ εἰς διαφόρους δεσποτικὰς ἑορτὰς καὶ εἰς ἑτέρους ἁγίους καὶ εἰς ἀνθρώπους."*

43. "**Γρηγορίου** ἀρχιεπισκόπου **Θεσσαλονίκης** [**τοῦ** Παλαμᾶ] Λόγος διασαφῶν ἐν ἐπιτόμῳ
τὴν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δόξαν καὶ τῶν ὑπὲρ εὐσεβείας ἀντιλεγόντων αὐτοῖς. Ἔστι δὲ οὗτος ἀντιρρητικὸς πρὸς Ἀκινδύνου λόγον ἐν ᾧ διασύρειν ἐπιχειρεῖ καὶ θεολογικὸν τροπάριον **Ἰσιδώρου** *τοῦ παναγιωτάτου* **πατριάρχου**."

Ἀρχ. *Ἀπολογίαν ἑαυτοῦ τὸν πρὸς ἀνασκευὴν ἀρτίως προταθέντα παρ' ἡμῶν αὐτοῦ λόγον ἐπιγράφει ὁ Ἀκίνδυνος.*

44. **Ἐφραὶμ τοῦ** Σύρου
α'. Περὶ τελειότητος μοναχικῆς πολιτείας. Ἀρχ. *Πέρυσί μοι προσῆλθον τινὲς αἰτοῦντες.—β'. Περὶ γλωσσαλγίας.* Ἀρχ. *Ἐσπαρμέναι εἰσὶν αἱ ἀναπαύσεις πᾶσαι.*

45. "**Βαρλαὰμ** μοναχοῦ καὶ φιλοσόφου **τοῦ Καλαβροῦ** ἐκείνου Κατὰ Λατίνων." Ἐν λόγοις θ'.
Ἀρχ. *Ὅτι μὲν οὖν ὑποκειμένου ἐκ μόνης τῆς πρώτης αἰτίας.*

46. "**Βαρλαὰμ** τοῦ φιλοσόφου καὶ **Καλαβροῦ**
ὅτι ὑποκειμένου καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον πολλὰ τῶν ὁμολογουμένων ἀναιρεῖται καὶ πολλοῖς ῥητοῖς τῶν ἁγίων ἐναντίως ἔχει ἡ τοιαύτη ὑπόθεσις."

Ἀρχ. *Ὅταν εἰς λόγους ἀλλήλοις ἐρχόμεθα ὦ ἄνδρες Λατῖνοι περὶ τῶν ἀμφισβητουμένων.*

47. "**Τοῦ αὐτοῦ** Πρὸς τὸν ἀρχιεπίσκοπον Νικόλαον περὶ τῆς ἀρχῆς τοῦ πάπα."
Ἀρχ. *Μὴ τοῦτο οἴου σεβάσμιε πάτερ ὅτι τοῦ πάπα τῶν ὀρθῶν ἐκπεσόντος δογμάτων.*

Ἐν τέλει· *Ἡ βίβλος αὕτη δογματικὴ κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου τῶν δυσσεβῶν ναὶ μὴν καὶ κατὰ Λατίνων καὶ Ἑλλήνων καὶ εἰκονομάχων καὶ περὶ ἄλλων δή τινων ἐκκλησιαστικῶν ζητημάτων ἀναγκαίων ἔτους ἐνισταμένου ἐγράφη ͵ϛωοα' ἰνδ. α' μηνὶ Μαρτίῳ κα'* (=1363).

48. "Τοῦ μακαρίου ὑπερτίμου καὶ ὑπάτου
τῶν φιλοσόφων κυροῦ **Μιχαὴλ τοῦ Ψελλοῦ** *Πρὸς τὸν ἀοίδιμον βασιλέα κῦριν Μιχαὴλ τὸν Δοῦκαν."*

3729. 195. Χαρτ. 8. XVIII.

1. "Περὶ εὐχῆς καὶ ψαλμῳδίας κεφάλαια διάφορα
ὑπὸ ἁγίων **πατέρων** *καὶ διδασκάλων ῥηθέντα."*

Τὰ πλεῖστα ἐκ τοῦ Γεροντικοῦ καὶ Πατερικοῦ ἐν τῇ καθωμιλημένῃ.

2. Κεφάλαια λζ'
συνιστάμενα ἐξ ἀποσπασμάτων **πατέρων** *καὶ* **ἀρχαίων Ἑλλήνων**, *τοῦ Πατερικοῦ καὶ τοῦ Γεροντικοῦ. Κεφ. α'. "Περὶ πίστεως καὶ εὐσεβείας εἰς τὸν Θεὸν καὶ ὅτι παντὸς ἀγαθοῦ ὑπερέχουσιν, ὁπηνίκα μάλιστα διὰ τῶν ἔργων ἀναλάμπουσιν."—Κεφ. β'. "Περὶ τῶν παραβεβηκότων τὴν εὐσέβειαν καὶ πίστιν καὶ εἰς Θεὸν ἀσεβούντων."—...Κεφ. λϛ'. "Περὶ αὐταρκείας."—Κεφ. λζ'. "Περὶ τοῦ ὅτι οὐκ ἀεὶ τὸ πλεῖστον ἄριστον."*

3. "**Χρυσοστόμου** Ἐπιστολὴ
πρός τινα ἡγούμενον ὅστις ἐζήτησεν ἀποστεῖλαι αὐτῷ κανόνα πνευματικῆς διδασκαλίας εἰς ὠφέλειαν αὐτοῦ τε καὶ τῶν μετ' αὐτοῦ ἀδελφῶν."

4. Κεφάλαια ἀνεπίγραφα ἐκ τοῦ Γεροντικοῦ καὶ Πατερικοῦ.

3730. 196. Χαρτ. 8. XVII

"Ψαλτήριον ἐξηγημένον εἰς ἁπλῆν γλῶσσαν."

Ἀρχ. *Καλότυχος εἶναι ἐκεῖνος ὁ ἄνθρωπος ὁποῦ.*

Προτάσσονται α'. *Περὶ Ψαλτηρίου καὶ τῶν ἐν αὐτῷ ἀναφερομένων μουσικῶν ὀργάνων.—β'.* "**Εὐσεβείου Παμφίλου** Περὶ διαιρέσεως τῶν Ψαλμῶν." Ἐν τέλει· *Γέγραπται τὸ παρὸν ψυχοσωτήριον Ψαλτήριον κατὰ τὸ ͵αχϟγ' ἔτος* (=1693) *ἐν τῇ τοῦ θέρους ἀκμῇ διὰ χειρὸς ἐμοῦ τοῦ ταπεινοῦ Μανουὴλ, ὑπομνηματογράφου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας...Ὀκτωβρίῳ ιϛ'.*

3731. 197. Χαρτ. 8. XVII. (φ. 389).

1. Λόγοι εἰς ἑορτὰς ἐκ τῶν ἐπ' ἐκκλησίας ἀναγινωσκομένων.
α'. Εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου.—β'. "Εἰς τὸ εὐαγγέλιον τῆς πρὸ τῶν Χριστου γεννηθλίων Κυριακῆς."—γ'. "Εἰς τὴν περιτομὴν τοῦ Χριστου καὶ εἰς τὸν μέγαν Βασίλειον."—δ'. Εἰς τὴν πρὸ τῶν Φώτων Κυριακήν.—ε'. "Εἰς τὰ Θεοφάνεια τοῦ Χριστοῦ."—ϛ'. Εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ.

2. "Ἐπιστολὴ **Ἰωάννου Δαμασκηνοῦ**
τοῦ Ἱεροσολυμίτου Πρὸς τὸν βασιλέα Κωνσταντῖνον τὸν Κοπρόνυμον περὶ τῶν ἁγίων καὶ σεπτὸν εἰκόνων."

3. "Πράξις Ματθαίου καὶ Ἀνδρέου τῶν ἁγίων ἀποστόλων μαθητῶν Ἰησοῦ Χριστοῦ."
Ἀρχ. *[Κ]ατ' ἐκεῖνον τὸν καιρὸν ἦσαν πάντες οἱ Ἀπόστολοι συνηγμένοι ἐπὶ τὸ αὐτῶ· καὶ ἐμέρισαν πασαν τὴν οἰκουμένην, ὅπως ἀπέλθη ἕκαστος εἰς τὸν ἐπὶλαχῶν αὐτῶ μερῶν.*

4. "Λόγος διδασκαλικὸς ἐκ πολλῶν συλεγὲν,
εἰς τὴν ἁγίαν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."

5. "Λόγος πάνυ ὡραῖος καὶ τημιώτατος
καὶ ψυχοφελὴς περὶ τὴν φρικτὴν καὶ ἁγίαν ἀνάστασιν."

Ἐν τέλει· *Θεοῦ τὸ δῶρον καὶ τοῦ Διμητρίου πόνος.* ͵ΑΧΚϛ'. *ἰνδ. θ' μηνι Μάρτιος* (=1626).

Τὰ ὑπ' ἀρ. 1, 4 *καὶ* 5 *ἐν τῇ καθωμιλημένῃ.*

Ὁ κῶδιξ γέγραπται κομψῶς, καίπερ βρίθων ἀνορθογραφιῶν.

3732. 198. Χαρτ. 8. XIV.

"Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν
Νήφοντος, καὶ ἐπισκόπου Κυλικίας καὶ συγγραφέως **Πέτρου ἱερομονάχου**."

Ἀρχ. *Μυστήριον βασιλέως κρύπτειν καλὸν, τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακηρύττειν ἔνδοξον.*

Ἐν τέλει· *Ἔτους ͵ϛωμβ'* (=1334). *Μετὰ τὸ πρῶτον φύλλον ἀμέσως λείπουσιν ἐν τῷ μεταξὺ φύλλα τινά.*

3733. 199. Χαρτ. 8. XV.

1. Βίος καὶ πολιτεία ἁγ. Κωνσταντίνου καὶ Ἑλένης.
Φύλλα τινὰ εὕρηνται μετατεθειμένα ἐκ τῶν μεταξὺ εἰς τὸ τέλος τοῦ βίου.

2. "Διήγησις περὶ τῆς οἰκοδομῆς
τῆς μεγάλης ἐκκλησίας τῆς ἐπονομαζομένης Ἁγίας Σοφίας."

3. "Τοῦ ἁγιοτάτου [**Ἰωάννου**] **μητροπολίτου Κλαυδίου πόλεως** Περὶ τῶν ἀζύμων, καὶ λόγος στηλιτευτικός."

4. "**Τοῦ αὐτοῦ** κατὰ Ἀρμενίων."

5. "**Νικήτα μοναχοῦ** καὶ **ἱερέως τῶν Στουδίων** Ἐπιστολὴ πρὸς Ῥωμαίους περὶ τῶν ἀζύμων,
τῆς νηστείας τῆς ἁγίας Τεσσαρακοστῆς καὶ τοῦ γάμου τῶν ἱερέων."

6. "Τὸ παρὰ τοῦ ἁγίου καὶ ἰσαποστόλου **Κωνσταντίνου μεγάλου** *γεγονὼς βασιλέως ἔγγραφον θέσπισμα πρὸς τὸν ἅγιον Σίλβεστρον τὸν πάπαν τῆς Ῥώμης."*

Ἀρχ. *Δέον ἐκρίναμεν μετὰ πάντων τῶν σατραπῶν ἡμῶν.*

7. "Ἐπιστολὴ **Ἰνοκεντίου πάππα Ῥώμης** *πρὸς τὸν βασιλέα Ἀρκάδιον περὶ τῆς ἐξορίας τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, ὅτε καὶ τέλει τοῦ βίου ἐχρήσατο ὁ Χρυσόστομος μὴ καταλαβὼν τὴν ἐξορίαν· ἀλλὰ διδαχθέντος τοῦ πάππα τὰ κατ' ἐκεῖνον διὰ ἱερέως τινὸς καὶ διακόνου τῶν ἐκδουλευσάντων τῷ ἁγίῳ μέχρι τελευταίας ἀναπνοῆς."*

Ἀρχ. *Φωνὴ αἵματος τοῦ ἀδελφοῦ μου Ἰωάννου βοᾷ πρὸς τὸν Θεὸν κατά σου βασιλεύς.*

8. "Βίος καὶ πολιτεία τοῦ ἀνθρώπου τοῦ Θεοῦ Ἀλεξίου."

Τὰ φύλλα συγκεχυμένα.

9. "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Ἐφραὶμ τοῦ Σύρου** Περὶ κατανύξεως."

10. Βίος καὶ πολιτεία Ἰωάννου τοῦ Καλυβίτου.

11. Βίος καὶ πολιτεία ὁσίου Ξενοφῶντος.

12. "Βίος καὶ πολιτεία τοῦ ἁγίου Μακαρίου *τοῦ Ῥομαίου τοῦ εὑρεθέντος ἀπὸ μιλίων κ' ἔξο τοῦ παραδείσου."*

13. "Βίος καὶ πολιτεία τοῦ μακαρίου Ζωσίμου *καὶ πῶς ἐδεήθην τοῦ Θεοῦ καὶ εἰσῆλθεν εἰς τοὺς μακάρους καὶ ἔλαβεν τὰς διηγίσης αὐτῶν."*

14. Στίχοι Ψαλμῶν τινων καὶ Τροπάρια δύο.

15. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν διαθήκην τοῦ Ἀβραὰμ καὶ Ἰσαάκ.

16. Σημειώσεις περὶ τῶν Ψαλμῶν τοῦ Δαβίδ (κολ.).

17. Διηγήσεις ἐκ τοῦ Γεροντικοῦ (ἀκέφ.).

18. "Ἐπιστολὴ τοῦ κυρίου ἡμῶν **Ἰησοῦ Χριστοῦ.** *πεμφθεῖσα ἐν Ἰερουσαλὴμ τῇ ἁγίᾳ πόλει, ἐγγραφεῖσα δὲ παρὰ τοῦ ἁγιοτάτου πατριάρχου δὲ Ἱεροσολύμων καὶ σταλεῖσα εἰς πάντας Χριστιανούς."*

Ἀρχ. *Ἀκούσατε ἀδελφοὶ καὶ πατέρες, ἱεροῖς καὶ μοναζοντες.* (ω)

19. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν Κυριακὴν τοῦ Ἀσώτου.

20. "Θαῦμα γενόμενον ὑπὸ τοῦ μεγαλομάρτυρος Γεωργίου."

21. "Τὸ αὐτὸ θαῦμα τοῦ ἁγίου ἐξ ἄλλης βίβλου."

22. Διήγησις περὶ τῶν παθῶν του Χριστοῦ.

Ἐν τῇ καθωμιλημένῃ. Ἀκέφαλος, κολοβή (XVIII. αἰῶνος).

Τῆς ἐπιγραφῆς τοῦ ὑπ' ἀρ. 9 προτάσσονται τάδε· Ἀρχὴ *σὺν Θεῷ ἁγίῳ Ἀναγνωστικὸν περιέχων βίους ἁγίων καὶ ὁσίων.*

3734. 200. Χαρτ. 8. XIII.

Γρηγορίου τοῦ Παλαμᾶ Ἔργα

α'. "**Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης** Εἰς *τὴν πρὸς τὰ ἅγια τῶν ἁγίων εἴσοδον καὶ τὸν ἐν αὐτοῖς θεοειδῆ βίον τῆς ὑπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου."*—β'. "**Τοῦ αὐτοῦ** Ὁμιλία *εἰς τὴν ὑπαπαντὴν τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾗ περὶ σωφροσύνης καὶ σώφρονος χηρείας, καὶ κατὰ τῆς ἀντιθέτου ταύτῃ πορνείας."*—γ'. "**Τοῦ αὐτοῦ** Πῶς *ἀνύσιμός τε καὶ ἄμωμος ἡ ἀρετὴ τελεῖται καὶ ὅτι μέγα τὸ ὄφελος τῆς νηστείας καὶ ἐγκρατείας, καὶ πολὺ τὸ βλάβος τῆς ἀκρασίας· ἐν οἷς ὡς ἐν ἐπιτόμῳ καὶ περὶ τῆς τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου γενέσεως. Ἐξεφωνήθη τῇ νηστίμῳ* Κυριακῇ δ'."—δ'. "**Τοῦ αὐτοῦ** Περὶ *νηστείας καὶ προσευχῆς καὶ τῆς κατ' αὐτῶν πολυειδοῦς ἐπιβουλῆς τοῦ κοινοῦ πολεμίου. Ἐξεφωνήθη κατὰ τὴν ἑσπέραν τῆς αὐτῆς ἡμέρας."*—ε'. "**Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης** Λόγος *ἀποδεικτικὸς πρῶτος, ὅτι οὐχὶ καὶ ἐκ τοῦ υἱοῦ, ἀλλ' ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον."*—ϛ'. "**Τοῦ αὐτοῦ** Ποσαχῶς *ἡ θεία ἕνωσις καὶ διάκρισις καὶ ὅτι μὴ κατὰ τὰς ὑποστάσεις μόνον, ἀλλὰ καὶ κατὰ τὰς κοινὰς προόδους καὶ ἐνεργείας διάκρισιν ἐδιδάχθημεν ἐπὶ Θεοῦ, καὶ ὅτι καθ' ἑτέραν ἕνωσίν τε καὶ διάκρισιν, ἄκτιστον φρονεῖν παρελάβομεν αὐτόν, κἂν* Βαρλαὰμ *καὶ* Ἀκίνδυνος *ἀπαρέσκωνται."*—ζ'. "Τῶν *πρὸς* Ἀκίνδυνον *ἀντιρρητικὸς πρῶτος, κατάλογον ἔχων τῶν αἱρέσεων, αἷς περιπίπτειν ἐκινδύνευσεν αὐτός τε καὶ ὅσοι κατ' αὐτόν, ἓν καὶ ἀδιάφορον παντάπασιν ἐπὶ Θεοῦ λέγοντες οὐσίαν καὶ ἐνέργειαν."*—η'. "**Τοῦ αὐτοῦ** Πρὸς *τὰ τοῦ* Γρηγορᾶ *συγγράμματα λόγος τέταρτος. Ἔλεγχος τῆς εἰς τὸ θειότατον τῆς τοῦ κόσμου μεταμορφώσεως παντοδαπῆς τοῦ* Γρηγορᾶ *βλασφημίας καὶ παράστασις ἐξ ἀντιθέσεως, ὅτι ἄκτιστον τοῦτό ἐστιν ὡς ἀληθῶς καὶ ἀΐδιον."*

3735. 201. Χαρτ. 8. XV.

1. "**Ἡσυχίου πρεσβυτέρου τοῦ...τῆς** Βάτου *πρὸς Θεόδουλον λόγοι ψυχοφελεῖς περὶ νύψεως, τὰ λεγόμενα ἀντιρητικὰ καὶ εὐκτικὰ κεφάλαια ρ'."*

Σῴζονται μόνον μέχρι τοῦ πη' κεφ. (κολ.)

2. "Διατάξεις κανώνον τῶν ἁγίων **Ἀποστόλων** *καὶ τῶν ἁγίων* **πατέρων**...*διάφορα κεφάλαια..."*

3. "Νομιμος καὶ μερικὴ ἐντολῶν πρόρρησις, *συλλεγῆσα ἀπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου καὶ τῶν καθ' εξεῖς, περὶ τῶν συμβάντων ἡμῖν ἢ καὶ συμβησωμένων ἐν διαφόρων ἁμαρτημάτων καὶ ἀκριβεῖς ἐξέτασις ἀπὸ τῶν αἰσχάτων καὶ ἕως τῶν πρώτων."*

4. Ἁγίων **πατέρων** Κανόνες.

5. **Ἰωάννου τοῦ Σχολαστικοῦ** "Λόγοι διάφοροι ἐκ τοῦ Κλήμακος."

6. "Διδασκαλεῖαι καὶ διαταγαὶ ἐκ τῶν μωσαϊκῶν νόμον καὶ παραδωσεως τῶν ἁγίων **Ἀποστόλων.**"

7. "Περὶ τοῦ πῶς ὀφείλει ὑποτάσσεσθαι τῷ οἰκείῳ ἀνδρὶ ἡ γυνή. διδασκαλία."

8. "Πρὸς τὸ Μὴ καλλωπιζέσθω γυνὴ παρ' ἐξ τοῖς ὑποτακτικοῖς ἤθους."

9. "Διδασκαλία περὶ τοῦ μὴ συνλούεσθαι *ἄνδρας μετὰ ἀνδρὸς ἢ γυνὴ μετὰ ἀνδρὸς ὃ καὶ βάρβαρον."*

10. "Περὶ ἐπισκόπων καὶ ἱερέων καὶ διακόνων *διδασκαλεία τῶν ἐπιτιμιῶν ἀντηρητικά."*

11. "Περὶ βαπτήσματος διδασκαλία *τῶν κορυφαιώτάτων* **Ἀποστόλων** *εἰς ἐπισκόπους καὶ ἱερεῖς."*

12. "Περὶ τοῦ πῶς τὰ σώματα ἡμῶν μέλωσιν ἀνίστασθαι καὶ περὶ ὧν τινων σωμάτων ἐθηριωβρώθεισαν καὶ ἐπνήγησαν καὶ ἐκριμνήσθησαν καὶ ὑπολακτίσθησαν."

13. "Ἑρμηνεία τῶν ἁγίων ζ' οἰκουμενικῶν συνώδων ἀπὸ πότε καὶ ἔκ τινων ἐγένωντο αἱ τοιαῦται."

14. "Ακολουθία τοῦ μικροῦ σχήματος ἤτοι τοῦ μανδίου καὶ μόνου."

Ἐν ἀρχῇ ἐν τέσσαρσι φύλλοις (Περγ. XIV)· α'. "Ἀρχὴ σὺν Θεῷ τῆς βίβλου ταύτης, καὶ ὁ ἀναγινώσκων ταύτην εὕρει ἐν αὐτῇ πᾶσαν ὠφέλιαν. Ἀρχὴ δὲ σὺν Θεῷ ἁγίῳ τῶν περὶ τῆς ἁγίας Τριάδος λόγων καὶ δογμάτων."—β'. **Κυρίλλου Ἀλεξανδρείας** Ἐρωτήσεις καὶ ἀποκρίσεις περὶ τῆς ἁγίας Τριάδος.—γ'. "**Ἰωάννου τοῦ Δαμασκηνοῦ** Περὶ τῆς ὑπεραγίας Θεοτόκου."—δ'. "**Ὠριγένους.**"—ε'. "Ἔκθεσις σύντομος ὀρθοδόξου πίστεως **Ἰωάννου τοῦ φιλοσόφου** πρός τινα ζητήσαντα αὐτόν" (κολ.). Ὁ κῶδιξ γέγραπται ὑπὸ διαφόρων χειρῶν.

3736. 202. Χαρτ. 8. XVII.

1. "Ἀκολουθία τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἡ ἐν τῇ η' (Μαΐου) καὶ ἡ ἐν τῇ κϛ' (Σεπτεμβρίου)."

2. "Ἀποκάλυψις **Ἰωάννου τοῦ Θεολόγου.**"

3. **Προχόρου** Περὶ τῶν θαυμάτων Ἰωάννου τοῦ Θεολόγου.

3737. 203. Χαρτ. 8. XVIII. (φ. 187).

1. "Τοῦ ἁγίου **ἀββᾶ Δωροθέου** Διδασκαλίαι διάφοροι..."

α'.—κγ'. Ἡ ιϛ' "**Τοῦ αὐτοῦ** Περὶ τοῦ ἔχοντος τὴν διακονίαν τοῦ κελαρίου" παραλειφθεῖσα ἐν τῇ οἰκείᾳ θέσει, ἐγράφη τελευταία.

Ἐν τέλει· Ἔτει ,ζρλζ' (=1629).

2. "**Ἰωάννου τοῦ Χρυσοστόμου** Νουθεσίαι πνευματικαί."

3. **Τοῦ αὐτοῦ** Εἰς τὸν μάταιον βίον.

3738. 204. Χαρτ. 8. XV.

1. **Νικολάου τοῦ Καβάσιλα** Ἑρμηνεία τῆς θείας λειτουργίας. Κεφ. νγ'.

Τὰ ἐν τέλει δύο φύλλα καὶ ὁ ἐν ἀρχῇ πίναξ ἐγράφησαν χειρὶ XVII. αἰῶνος, διὸ ἡ ἐν τέλει χρονολογία· Ἐν ἔτει ,ζρκϛ' Μαΐῳ ιθ'. (=1616) Ἰγνάτιος ἱερομόναχος.

2. **Ταρασίου Κωνσταντινουπόλεως** Εὐχαὶ

α'. "εἰς ἀνοίξια ναοῦ ὑπὸ αἱρετικῶν βεβηλωθέντος."—β'. "εἰς ἀνοίξια ναοῦ ὑπὸ ἐθνῶν βεβηλωθέντος."—γ'. "εἰς ἀνοίξια ναοῦ ὑπὸ αἱρετικῶν καθυβρισθέντος."

3. "Εὐχὴ λεγομένη ἐν τῇ εἰσόδῳ πρὸ τῆς συνήθους ἐπὶ ἀνοίξει ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον βιαίως."

4. "**Μεθοδίου πατριάρχου** Περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἐπιστρεφόντων."

Ἕπονται Εὐχαί τινες εἰς αὐτούς.

5. "Ὅπως χρὴ δέχεσθαι τοὺς ἀπὸ αἱρέσεων τῇ ἁγίᾳ τοῦ Θεοῦ καὶ ἀποστολικῇ προσιόντας ἐκκλησίᾳ."

6. "Διάταξις γινομένη ἐπὶ τοῖς ἀπὸ Σαρακηνῶν ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν καὶ ἀληθῆ πίστιν ἡμῶν τῶν Χριστιανῶν."

3739. 205. Χαρτ. 8. XVII.

Ἑρμηνεία τοῦ μεγάλου κανόνος.

Ἕπεται ἡ ἑρμηνεία εἰς ἕκαστον τροπάριον τοῦ κανόνος, ἀλλὰ περὶ τὸ τέλος λείπει τὸ κείμενόν τινων τροπαρίων, μένοντος κενοῦ τοῦ δι' αὐτὸ χώρου.

Προτάσσεται "Ἐπιστολὴ κυρι **Ἀκακίου** μοναχοῦ καὶ **Σαβαΐτου** Πρὸς τὸν αἰτήσαντα, καὶ Πρόλογος τοῦ βιβλίου τοῦ ἱεροῦ τοῦδε τοῦ φέροντος τὴν ἑρμηνείαν τοῦ μεγάλου καὶ ἱεροῦ κανόνος, τοῦ ἐν ἁγίοις ὄντος θεοφόρου πατρὸς ἡμῶν **Ἀνδρέου Κρήτης**, τοῦ Ἱεροσολυμήτου."

Ἐν τέλει· ᾳχιή ινδικτιῶνος ιδ'. ἐν μηνὴ Γεναρίου ιε'. [ἀ]πο τὸ ἔκπαλαι ,ζρκϛ' (=1618;).

3740. 206. Χαρτ. 8. XVII.

1. "Μαρτύριον τῆς ἁγίας μεγαλομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας, μεταφρασθὲν εἰς ἁπλῆν γλῶσσαν καὶ ἰδιωτικὴν παρὰ **Γερμανοῦ ἱερομονάχου.**"

2. "Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκωδεσπότῃ ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ."

Διδαχὴ ἐν τῇ καθωμιλημένῃ.

3. Βίος καὶ πολιτεία Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ. Ἐν τῇ καθωμιλημένῃ.

4. Διηγήσεις τινὲς ἐκ τοῦ Γεροντικοῦ.

5. "Θαῦμα γενόμενον τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, εἰς τὴν Φραγγίαν, περί τινος κόρης Μαρίας λεγομένης."

6. "Τὸ θαῦμα τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν, Γουρία, Σαμωνὰ καὶ Ἀβίβου περι τῆς κόρις."

7. "Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παύλου τοῦ ἁπλοῦ" Βίος.

8. "Περὶ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Πωγωνάτου."

Ἀρχ. Ἐν τοῖς χρόνοις καὶ τοῖς κεροῖς τοῦ βασιλέως Κωνσταντίνου τοῦ Πωγονάτου τῆς βασιλείας, ὡς ἄνθρωπος καὶ αὐτὸς, νυστάξας μικρὸν, ἔπεσεν ὑπὸ τοῦ διαβόλου εἰς τοιαύτην μυσαρὰν ἁμαρτίαν.

9. "Ἐκ τῶν λόγων τῶν εἰς τὴν σταύρωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."

Ἀρχ. Καὶ ἡ μὲν Θεοτόκος βλέπουσα ἐπὶ σταυροῦ τὸν Κύριον ταῦτα ἔλεγεν.

10. "Ἀποκάλυψις τοῦ ἁγίου **Ἰωάννου τοῦ Θεολόγου.**"

Ἀρχ. Μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παραγενόμενος ἐγὼ Ἰωάννης μόνος ἐπὶ τὸ ὄρος Θαβώρ.

11. Διηγήσεις ἐκ τοῦ Γεροντικοῦ καὶ τοῦ Πατερικοῦ.

12. Μαρτύριον τοῦ ἁγίου Χαραλάμπους (κολ.).

Ἐν τῇ καθωμιλημένῃ.

3741. 207. Χαρτ. 8. XVII.

1. Διήγησις περὶ των παθῶν τοῦ Χριστοῦ (ἀκέφ.)

Ἀρχ. αἰτίαν τῆς σταυρώσεως ἐτίθουν ἐπάνω αὐτοῦ· οὗτος δὲ ἀγανακτῶν καὶ μὴ δυνάμενος τοὺς ὀνειδισμοὺς ὑπομένειν.

2. "Ἀρχὴ τῆς ἀναστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."

Αρχ. Τῆς Κυριακῆς οὖν διαφασκούσης συμβούλιον ἐποίησαν οἱ ἀρχιερεῖς μετὰ τῶν Ἰουδαίων.
Ἐν τέλει· Δανιὴλ ἱερομόναχος.
3. "Ὅρασις τῆς μελλούσης κρίσεως."
Ἐν τέλει· Τέλος τῆς ὀπτασίας τοῦ ἁγίου Νήφωνος.
4. "Περὶ τῶν παρ' αἱρετικῶν κεχειροτονημένων· ἐκ τῶν ἐκκλησιαστικῶν ἱστοριῶν συλλογὴ μερική."
5. "Παρεκβολαὶ ἀναγκαῖαι παραμυθητικαί, συλλεγεῖσαι ἐκ τῶν λόγων τῶν ἁγίων."
Συλλογὴ ἐκ τῶν ἔργων **Βασιλείου τοῦ μεγάλου, Γρηγορίου Νύσσης, Γρηγορίου τοῦ Θεολόγου.**
6. **Ἀθανασίου Ἀλεξανδρείας** "Περὶ παρθενίας ἤτι περὶ ἀσκήσεως."
7. "Εὐχὴ τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου καὶ πρωτοκορηφαίου τῶν ἀποστόλων **Πέτρου**, κατὰ πονηρῶν καὶ ἀκαθάρτων πνευμάτων."
8. Στιχηρὰ μετὰ μουσικῶν σημείων
Ἐν τοῖς τέσσαρσι τελευταίοις φύλλοις.
Ὁ κῶδιξ γέγραπται ὑπὸ διαφόρων χειρῶν.

3742. 208. Χαρτ. 8. XIX.
Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις οβ΄.
Ἐν τῇ καθωμιλημένῃ.
Ἐν τέλει· 1831. Μαΐου 7.

3743. 209. Χαρτ. 8. XVII.
Ἰωάννου τοῦ Καντακουζηνοῦ
Ἀπολογίαι τοῦ Χριστιανισμοῦ δ΄ καὶ Λόγοι κατὰ Μωάμεθ δ΄.
Εν τῇ καθωμιλημένῃ.
Προτάσσεται ἡ Ὑπόθεσις, ἧς ἄνωθεν τὰ ἑξῆς· Τὸ παρὸν βιβλίον εσύνθεσεν εἰς Ἑλληνικὴν γλῶτταν ὁ φιλόχριστος βασιλεὺς ἡμῶν Κύριος **Ἰωάννης ὁ Κατακουζηνός**, ὁποῦ ὕστερον ονομάσθηκεν διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος Ιωᾶσαφ μοναχὸς, εἰς τοὺς ατξ΄. χρόνους ἀπὸ τὴν ἔνσαρκον οἰκονομίαν. Μετεφράσθη δὲ εἰς κοινὴν γλῶτταν ὑπο **Μελετίου Συρίγου** αχλε΄. Δεκεμβρίου α΄. εἰς Μολδοβλαχίαν, μὲ παρακίνησι τοῦ ἐκλαμπτάτου αὐθεντὸς πάσης Μολδοβλαχίας Κυρίου Ἰωάννου Βασειλείου Βοεβόνδα.
Ἕπονται ἐν τέλει Τροπάριά τινα καὶ Διήγησις ἐκ τοῦ Γεροντικοῦ.

3744. 210. Χαρτ. 8. XV.
Ἀββᾶ Δωροθέου Διδασκαλίαι κβ΄.
α΄. "Περὶ τῆς τοῦ κόσμου ἀποταγῆς."—...κβ΄. "**Τοῦ αὐτοῦ** Πρὸς τοὺς ἐν μοναστηρίοις ἐπιστάτας καὶ μαθητάς..."
Τὸ περικάλυμμα ἀποτελεῖται ἐκ φύλλου (Περγ. Χ. σελ. 2.) ἐκκλησιαστικῆς ὕλης.

3745. 211. Χαρτ. 8. XVII.
Βίοι καὶ μαρτύρια ἁγίων Δεκεμβρίου.
α΄. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Σάβα."—β΄. "Μαρτύριον τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου."—γ΄. "Μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου."
Ἐν ἀρχῇ φύλλα τινὰ περιέχοντα μέρος Μηνολογίου μετὰ τροπαρίων καὶ κοντακίων. Ἐν τέλει δὲ δύο φύλλα (XVIII.) περιέχοντα μέρος τῆς **Ὁμήρου Ἰλιάδος** ἐκ τοῦ Α μετὰ παρασελιδίου ἐξηγήσεως καὶ ἑτέρας στήλης ἐν τῇ ᾤᾳ, ἐν ᾗ σχόλια.

3746. 212. Χαρτ. 8. XV.
1. "Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Ἀχιλλίου, μητροπολίτου Λαρίσσης."
2. Ἕτερος βίος τοῦ αὐτοῦ ἁγίου τὴν αὐτὴν φέρων ἐπιγραφήν.
3. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου.
Ἐν αὐτῷ καὶ Διάλογος μεταξὺ Μαρίας καὶ Ἀγγέλου καὶ Ἰωσὴφ καὶ Μαρίας.
4. Ἀκολουθία τοῦ ἁγίου Ἀχιλλίου.
Μετετέθη κατὰ τὴν σύμπηξιν τοῦ κώδικος ἐκ τῆς ἀρχῆς ὅπου ἦν τὸ πρότερον τεταγμένη. Καὶ φύλλα μέν τινα ἐκλιπόντα ἀνεπληρώθησαν ὑπὸ νεωτέρων (XVII.), ἅτινα καὶ ἔμειναν ἐν ἀρχῇ τοῦ κώδικος, ἄλλα δέ τινα τῶν ἀρχαίων φύλλων εὕρηνται μετατεθειμένα περὶ τὸ τέλος τοῦ κώδικος. Καὶ τὰ μὲν ἀρχαῖα φύλλα εἰσὶν ἄνευ φωνῶν, τὰ δ' ἐν ἀρχῇ τοῦ κώδικος νεώτερα φέρουσί τινα τροπάρια σεσημασμένα.
5. "**Ἰωάννου μητροπολίτου Εὐχαΐτων**
Λόγος εἰς τοὺς ἁγίους πατέρας καὶ διδασκάλους Βασίλειον τὸν Μέγαν, Γρηγόριον τὸν Θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον."
6. **Τοῦ αὐτοῦ** Ὁ αὐτὸς λόγος ἐκ δευτέρου (ἐλλιπής).
Ἡ τάξις τῶν φύλλων πολλαχοῦ συγκεχυμένη ἐν τῷ κώδικι.

3747. 213. Χαρτ. 8. XV.
1. **Διονυσίου Ἀρεοπαγίτου** Ἔργα.
Καθ' ἃ ἀναγράφει ὁ προτασσόμενος "Πίναξ τῆς παρούσης βίβλου τοῦ **ἁγίου Διονυσίου**" περιέχονται α΄. "Περὶ οὐρανίου ἱεραρχίας. Κεφάλαια ιε΄."—β΄. "Περὶ θείων ὀνομάτων. Κεφάλαια ιγ΄."—γ΄. "Περὶ ἐκκλησιαστικῆς ἱεραρχίας. Κεφάλαια ζ΄."—δ΄. "Περὶ μυστικῆς θεολογίας. Κεφάλαια ε΄."—ε΄. "Ἐπιστολαὶ δέκα. Πρὸς Γάϊον α΄. Πρὸς Δωρόθεον δ΄. Πρὸς Σώπατρον α΄. Πρὸς Πολύκαρπον α΄. Πρὸς Δημόφιλον α΄. Πρὸς Τῖτον. Πρὸς τὸν Θεολόγον Ἰωάννην καὶ εὐαγγελιστὴν α΄."
Ἕπεται δὲ τῷ Πίνακι α΄. περὶ ἄλλων τινῶν πραγματειῶν Διονυσίου τοῦ Ἀρεοπαγίτου "Πρόλογος τοῦ **ἁγίου Μαξίμου**".—β΄. "Ἀπὸ σχολίων τινὸς φιλοπόνου ἀνδρός."
Ἐν δ' ἀρχῇ ἑκάστης τῶν τεσσάρων βίβλων τοῦ συγγραφέως εὕρηται Πίναξ τῶν περιεχομένων κεφαλαίων. Ἔχουσι δ' αἱ βίβλοι ἐκεῖναι καὶ παρασελιδίους σημειώσεις ἐνιαχοῦ.
2. **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Κεφάλαια φιλοσοφικὰ νε΄.
α΄. Ἐπιστολὴ πρὸς Κοσμᾶν ἐπίσκοπον Μαϊουμᾶ.—β΄. "Περὶ γνώσεως."—...νε΄. "Περὶ τῶν δ΄ στοιχείων."
3. **Τοῦ αὐτοῦ** "Ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως."
Δογματικὰ κεφάλαια ρις΄, ὧν α΄ "Ὅτι ἀκατάλειπτον τὸ θεῖον", ρις΄ "Περὶ ἀναστάσεως."
Προτάσσεται Πίναξ τῶν περιεχομένων κεφαλαίων.

3748. 214. Χαρτ. 8. XV.
1. **Γρηγορίου Νύσσης**
α΄. "Περὶ κατασκευῆς ἀνθρώπου κεφάλαια λ΄." μετὰ Πίνακος

τῶν περιεχομένων ἐν ἀρχῇ.—β'. "Εἰς τοὺς Μακαρισμοὺς" Λόγ. α', β', ε' καὶ η'.—γ'. Εἰς τὸ Πάτερ ἡμῶν Ὁμιλ. α'—δ', ἥτις μένει ἀτελὴς ἐν ταῖς λέξεσιν· ὅτι παύσασθε ἄνθρωποι περὶ τὰ μάταια ταῖς ἐπι...—δ'. "Ἐπιστολὴ μηνύουσα τὰ ἐπιτεταγμένα ἅτινά ἐστι προτροπὴ εἰς τὸν κατ' ἀρετὴν βίον, καὶ περὶ παρθενίας." Προοίμιον μετὰ πίνακος τῶν περιεχομένων, περιλαμβάνοντος κεφάλαια κδ', ὧν περιέχονται ἐν τῷ κώδικι μόνον τὰ ιδ' πλήρη, τὸ δὲ ιε' ("ὅτι ἡ ἀληθὴς παρθενία ἐν παντὶ ἐπιτηδεύματι θεωρεῖται") κολοβὸν μέχρι τῶν λέξεων· ἐπὶ πάντα δὲ ὁμοίως καὶ μετὰ...

2. **Γρηγορίου τοῦ Θεολόγου** Ποιήματα.

α'. Ἀνεπίγραφον Ἀρχ. Χριστὲ ἄναξ, ὃς ἁγναῖς ποτ' ἀειρομέναις παλάμησι.—β'. "Ἔπαινος παρθενίας."—γ'. "Ὑποθῆκαι παρθένοις."—δ'. "Πρὸς τοὺς ἐν κοινωβίῳ μοναχούς."—ε'. "Εἰς ἑαυτὸν δι' ἀλεγείων."—ϛ'. "Εἰς ἑαυτὸν μετὰ τὴν ἐπάνοδον."—ζ'. "Εἰς ἐπισκόπους."—η'. "Εἰς ἐπισκόπους."—θ'. "Εἰς ἐπισκόπους."—ι'. "Εἰς ἑαυτὸν καὶ τὰς κακοκαθείας."—ια'. "Ἄλλο εἰς ἑαυτόν."—ιβ'. "Εἰς τὴν ἐκκλησίαν Ἀναστασίας."—ιγ'. "Περὶ φύσεως ἀνθρωπίνης."—ιδ'. "Περὶ εὐτελείας τοῦ ἐκτὸς ἀνθρώπου."—ιε'. "Περὶ τῆς τῶν παρόντων ματαιότητος."—ιϛ'. "Μακαρισμοὶ διαφόρων βίων."—ιζ'. "Ὅροι θεολογίας."—ιη'. "Κατὰ τῆς σαρκός."—ιθ'. "Κατὰ τοῦ πονηροῦ."—κ'. "Ἐπιστρεπτικὴ πρὸς Θεὸν νουθεσία."—κα'. "Ὅσα ἐνδιάθηκα."—κβ'. "Μάστιγες δι' ἐλεγείων."—κγ'. "Δεκάλογος."—κδ'. "Πατριάρχαι δώδεκα, ἀπόστολοι δώδεκα."—κε'. "Ἡ παρὰ τῷ Ματθαίῳ καὶ Λουκᾷ γενεαλογία τοῦ Χριστοῦ."—κϛ'. "Γενεαλογίαι."—κζ'. "Χριστοῦ θαύματα κατὰ Ματθαῖον."—κη'. "Παραβολαὶ κατὰ Ματθαῖον."—κθ'. "Κατὰ Ἰωάννην θαύματα."—λ'. "Παραβολαὶ τῶν τεσσάρων."—λα'. "Εἰς Ἑλλήνιον τὸν ἐξισωτήν."—λβ'. "Εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν."—λγ'. "Νικόβουλος πρὸς τὸν πατέρα."—λδ'. "Ὁ πατὴρ πρὸς τὸν υἱόν."—λε'. "Πρὸς Βιταλιανὸν παρὰ τῶν υἱῶν."—λϛ'. "Κατὰ γυναικῶν καλλωπιζομένων."

Τὰ ποιήματα ταῦτα συνοδεύονται ὑπὸ διαστίχου ἑρμηνείας λέξεών τινων δι' ἐρυθρῶν γραμμάτων γεγραμμένης· ἀλλ' αὕτη λείπει περὶ τὸ τέλος.

3749. 215. Χαρτ. 8. XVII.

1. "**Τοῦ ἁγίου Ἀναστασίου** Ἀποκρίσεις πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἐρωτήσεις παρά τινων ὀρθοδόξων περὶ διαφόρων κεφαλαίων."

Ἐν ὅλῳ ριγ', ὧν α'. "Ἐρώτ· Τί ἴδιον Χριστιανοῦ καὶ τί τὸ χαρακτηρίζον Χριστιανὸν, καὶ τί τὸ κυρίως ἔργον Χριστιανοῦ."

2. "**Γεωργίου Χοιροβοσκοῦ** Περὶ τρόπων."

3. "**Ἐπιφανίου** Ἐκ τῶν Παναρίων."

4. "Διάλογος τῶν ἁγίων μεγάλων ἱεραρχῶν, **Βασιλείου καὶ Γρηγορίου τοῦ Θεολόγου.**"

Ἀρχ. Βασίλ. Τί ἐστιν ἀρχή.

5. "**Θεοδωρίτου** Ἐκ τῶν περὶ τῆς ἁγίας Τριάδος."

6. "**Εἰρηναίου Λουγδούνων** Ἐκ τοῦ εἰς τὴν Γένεσιν."

7. "**Ἰουστίνου** Ἐκ τῶν δογματικῶν."

8. "Περὶ τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."

9. "Ἐκ τῶν **ἀποστολικῶν** διατάξεων."

10. "**Εὐσεβίου** ἐκ τῶν Χρονικῶν."

11. "**Ἡσυχίου** Ἐκ τοῦ εἰς τὴν Χριστοῦ γένναν."

12. "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Βασιλείου** Ἐπιστολὴ πρὸς Ὄπτιμον ἐπίσκοπον εἰς τὸ κατὰ Κάϊν καὶ εἰς τὰ ἑπτὰ ἐκδικούμενα, ἐκ τῶν Ἠθικῶν λόγων μγ'."

13. "**Ἀναστασίου πατριάρχου** Θεουπόλεως [**Ἀντιοχείας**] Ἐξήγησις περὶ τῶν ἐν Περσίδι πραχθέντων."

14. "Ἀποφθέγματα **φιλοσόφων ἀρχαίων**, ὧν τὰ κεφάλαια κατὰ ἀλφάβητον."

15. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Σιλβέστρου πάπα Ῥώμης, συγγραφεὶς παρὰ **Εὐσεβίου τοῦ Παμφύλου.**"

16. **Ἀναστασίου τοῦ Σιναΐτου** "Εἰς τὴν παρείςβασιν τῶν νηστειῶν καὶ εἰς τὸν ἕκτον Ψαλμόν."

17. "**Τοῦ ὁσίου Ἐφραὶμ**"

α'. "Περὶ μακαρισμῶν καὶ ταλανισμῶν."—β'. "Περὶ φόβου ψυχῆς."—γ'. "**Τοῦ αὐτοῦ** Εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."—δ'. "Περὶ ὑπακοῆς."—ε'. "Περὶ ἀνυποταξίας καὶ γογγυσμοῦ."—ϛ'. "Περὶ πραϋπαθείας παραίνεσις."—ζ'. "**Τοῦ αὐτοῦ** Ἐπὶ κατανύξει ψυχῆς."

Ἐν τέλει· Ἐγράφη τὸ παρὸν βιβλίον διὰ χειρὸς ἐμοῦ ἁμαρτωλοῦ Κυρίλλου...ἔτους ,ζρ' (=1492).

3750. 216. Χαρτ. 8. XIV.

1. Ἑορτολόγιον τῶν ιβ' μηνῶν καὶ τοῦ Τριωδίου καὶ Πεντηκοσταρίου μετὰ τροπαρίων καὶ κοντακίων (ἀκέφ.).

Ἄνευ σημειώσεως τῆς ἡμέρας τῶν μηνῶν.

2. "Κανὼν παρακλητικὸς ψαλλόμενος εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς τὴν ἄχραντον αὐτοῦ μητέρα, ἐπὶ τὸν πίπτοντα εἰς θλίψιν καὶ πειρασμόν."

3. "Ἀνθολόγημα ἤγουν ἡ μέλισσα ἔχον κεφάλαια διάφορα ἁγίων καὶ σοφῶν ἀνδρῶν."

Κεφ. ϞΓ' μετὰ Πίνακος τῶν περιεχομένων. Κεφ. α'. "Περὶ βίου καὶ ἀρετῆς καὶ κακίας."—β'. "Περὶ φρονήσεως καὶ βουλῆς."—ϞΒ'. "**Τοῦ ὁσίου Ἐφραὶμ**" Ἐρώτησις καὶ ἀπόκρισις.—...ϞΓ'. "Κεφάλαια πάνυ ὠφέλιμα ἐκ διαφόρων βίβλων ἐμπόνως συλλεγέντα" (ἐν δὲ τῷ Πίνακι τὸ κεφ. ϞΓ' ἐπιγράφεται "Ἕτερα κεφάλαια πάνυ ὠφέλιμα ἁγίων καὶ μεγάλων, ἀπὸ διαφόρων πατερικῶν"). Ἐν τοῖς ἄλλοις καὶ "Ὑποτύπωσις ἀκριβὴς καὶ πάνυ ὠφέλιμος πρὸς ἀρχαρίους μοναχούς" καὶ "Ἐκ τοῦ Γεροντικοῦ" διάφορα.

4. **Συμεὼν τοῦ νέου Θεολόγου** "πρεσβυτέρου καὶ ἡγουμένου μονῆς τοῦ ἁγίου μάρτυρος Μάμαντος τῆς Ξυλοκέρκου"

α'. "Κεφάλαια πρακτικὰ καὶ θεολογικά."—β'. "Ἕτερα κεφάλαια γνωστικὰ καὶ θεολογικά."—γ'. "Ἕτερα κεφάλαια πρακτικά."

5. Ἀποσπάσματα καὶ λόγοι τινὲς **πατέρων**, ἰδίως δὲ **Ἰωάννου τοῦ Σχολαστικοῦ**.

6. "Τοῦ **ὁσίου** πατρὸς ἡμῶν **Νείλου** Περὶ ἡγουμένων."

7. "**Διδασκαλία τοῦ μεγάλου Ἀντωνίου.**"

Ἀρχ. Ἔστω δὲ ἡμῖν ἀγὼν ὥστε μὴ τυραννεῖν ἡμῶν θυμόν.

8. "Τοῦ **ἀββᾶ Δωροθέου** Διάφορα ἀποσπάσματα."

9. "Τοῦ **ἀββᾶ** Μωϋσεως τοῦ Αἰθίωπος."

Ἀρχ. Ἐὰν παραβάλουσίν σοι τινὲς ὅταν ἴδεις αὐτοὺς ἀπὸ μήκοθεν στὰ εἰς ευχὴν καὶ εἰπέ.

10. "Τοῦ αὐτοῦ Εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."

Ἀρχ. Ἠκούσατε ἀγαπητοὶ καὶ φιλόχριστοι πόση ἐστὶν ἡ δύναμις τοῦ Σταυροῦ.

11. Ἐρωτήσεις καὶ ἀποκρίσεις θεολογικαί.

12. "Τίτλοι ἐκ τῶν πολιτικῶν νόμων καὶ τῶν πατέρων."

Τίτλος α'. Βασιλικῆς μεγαλοφρο^ν^ ἂν ἴδιον ἐστιν οὐ μόνον ὅπλοις κοσμίζεται ἀλλὰ καὶ νόμοις καὶ ὅπλοις.

13. "Κυριακῇ πρώτῃ τῶν νηστειῶν

Περὶ τοῦ διατρέφειν τὴν ψυχὴν ἐν τοῖς πνευματικοῖς θεωρήμασιν **τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου.**"

14. "Τοῦ ἁγίου Νείλου Πρὸς Χαρίκλην

τὸν πρεσβύτερον ἐπιστολὴ φάσκοντα μὴ ἀρκεῖν τὴν δια λόγων ἐξομολόγησιν πρὸς μετάνοιαν."

Ἀρχ. Σκόπει τοίνυν πρεσβύτα μὴ μόνον ἀποτομίαν.

15. Ἀποσπάσματα ἐκ τοῦ Πατερικοῦ καὶ Γεροντικοῦ.

16. "Σὺν Θεῷ ὅροι διάφοροι

ἀπό τε τῆς κατὰ παράδοσιν τῆς ἁγίας ἐκκλησίας καθολικῆς καὶ ἀποστολικῆς λεγόμενοι, συλλεγέντες παρὰ **Κλήμεντος** τοῦ ἁγιωτάτου **πάπα** τῆς πρεσβυτέρας **Ῥώμης** καὶ ἑτέρων ὁσίων καὶ μακαρίων πατέρων."

Ἐν τέλει·...ἐπόνησα πρὸς ταῦτα τῷ ἑξάκισχιλιοστῷ αὖθις ὀκτακοσιοστῷ πρὸς τοῖς πεντήκοντα καὶ ἑνὶ ἔτη ἰνδικτηῶνος δὲ ἑνδεκάτης (=1343). Ἰστέον ὅτι τὸ παρὸν βιβλίον ἐγράφη ἐν τῷ πρώτῳ ἔτω τῆς εἰς τὰ Βελλάγραδα εἰσελεύσεως τοῦ σεβαστοκράτωρος Σερβείας κῦρ Νικηφόρω τὸ Ἰσαακίω, χειρὶ δὲ Ἰακώβῳ ἱεροθύτῳ.

17. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν

Ὀνουφρίου ἐγράφη παρὰ τοῦ ἐν αγίεις **Παφνουτίου.**"

Ἀρχ. Ἐν μιᾷ τῶν ἡμερõν ἐγω ἐλαχιστος Παφνούτιως σπουδὴν ἐποιησάμην τοῦ γενέστε ἐς τὴν ἐσοτέραν ἐρημον.

Ἀπὸ μὲν τοῦ ὑπ' ἀρ. 5 ὁ κῶδιξ γέγραπται ὑπὸ ἄλλης χειρὸς τοῦ αὐτοῦ XIV. αἰῶνος. Ἡ δὲ χεὶρ τοῦ ὑπ' ἀρ. 17 Βίου νεωτέρα.

3751. 217. Χαρτ. 8. XV.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ μετὰ τοῦ πρὸς τὸν Ποιμένα λόγου.

Ἐν τῇ ᾤᾳ σχόλια ἀραιότατα.

3752. 218. Χαρτ. 8. XV.

1. **Νικολάου Μεθώνης** Θεολογικὴ συγγραφὴ (ἀκέφ.).

Ἀρχ....τῷ περὶ τοῦ ἁγίου πνεύματος λόγῳ θεμέλιον· εἰ γάρ ἐστι τὸ πνεῦμα Θεὸς ὥσπερ δὴ καὶ ἔστι καὶ λέγεται καὶ πιστεύεται, Θεὸν δὲ οὐδεὶς ἑώρακε πώποτε, ὡς φησὶν ὁ τὰ τῆς θεολογίας βροντίσας ἀπόρρητα.

Ἐν τῇ συγγραφῇ ταύτῃ φέρονται ἴδιαι ἐπιγραφαὶ τῶν καθ' ἕκαστον κεφαλαίων. "Ἔκθεσις ἐν συνόψει τοῦ καθ' ἡμᾶς ὀρθοῦ δόγματος." Ἀρχ. Πιστεύομεν εἰς ἕνα Θεὸν ἐν τρισὶ προσώποις εἴτουν ὑποστάσεσι θεωρούμενον. Τέλ. καὶ ἕκαστον ἄρα τῶν ἀρχικῶν προσώπων τὸ πᾶν πληρέστατόν ἐστι καὶ τελέστατόν ἐστιν ἓν εἰς ὅπερ οὐδεὶς ἐμπίπτει συνδυασμός.—"Ἐπιχείρημα ἐξ ἀντιθέσεως." Ἀρχ. Εἰ δὲ τὸ πνεῦμα ἓν καὶ οὐχὶ ἕν, τὸ μὲν ὅτι ἐκπορευτόν, τὸ δ' ὅτι οὐκ ἐκ μιᾶς ἀρχῆς ἀλλ' ἐκ δύο· δύο γὰρ εἰ καὶ μὴ τῇ φύσει, ἀλλὰ ταῖς ἰδιότησι, πῶς ἔσται πλήρωμα τῆς ὅλης θεότητος.—"Λύσις ἐλέγχουσα τοὺς ἀντιθέτους λογισμοὺς καὶ τὴν ἀλήθειαν παραδιδόασι." Ἀρχ. Παίδων λέγει ἐν ἀγορᾷ παιζόντων ἀθύρματα ἢ ἀνδρῶν κακοδαιμόνων ὡς ἀληθῶς καὶ ἀνοήτων συμπλάσματα.—"Ἐπαύξησις τοῦ τῆς ἀντιθέσεως." Ἀρχ. Τοῦτο μόνον ζητεῖς ἢ κἀκείνῳ πῶς εἴρηται παρὰ τοῦ Χριστοῦ.—"Ὅτι ἡ τοῦ πνεύματος φωνὴ πολυσήμαντός ἐστιν." Ἀρχ. Ἀλλ' ὦ βέλτιστε ἐρωτήσω δὲ σὲ κἀγώ· σὺ δέ μοι ἀποκρίθητι Πέτρον τὸ πνεῦμα.—"Ἐκ τῶν πράξεων τῆς πρώτης συνόδου." Ἀρχ. Δέχου μίαν θεότητα τοῦ γεννήσαντος τὸν υἱὸν ἀνεκφράστως.—"Ἐν τῇ γ' συνόδῳ."—"Ἐντῇ δ' συνόδῳ."—"Ἐν τῇ β' συνόδῳ."—"Ἴαμβοι στίχοι **Νικηφόρου φιλοσόφου.**" Ἐν ὅλῳ 15.

Ἀρχ. Ὅσοι γὰρ θεσμοὺς πατέρων χριστοφόρων
ἀποστολικὰς παραδόσεις ἐνθέους.

Τέλ. ἔλυσεν ἄρδην ὡς ἀραχνίους μίτους.

Ἐν τέλει· Τέλος τῶν συγγραμμάτων τοῦ σοφωτάτου κυροῦ **Νικολάου ἐπισκόπου Μεθώνης.**

2. Συγγραφὴ κατὰ Ἀκινδύνου ἀνεπίγραφος.

Ἀρχ. Φησί που τῶν Παροιμιῶν ὁ Σολομὼν Δίδου σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται. Πεπεισμένοι μὲν οὖν ἡμεῖς ἐγκελευομένῳ καὶ παραινοῦντι τῷ σοφισθέντι κατὰ τὸ γεγραμμένον ὑπὲρ πάντας τοὺς πρὸ αὐτοῦ παρέχομεν ἀφορμὴν ὑπὲρ εὐσεβείας τῇ σοφίᾳ δια τουτωνὶ τῶν γραμμάτων. Τέλ. Ἐγὼ δὲ ταῦτ' ἐπέστειλα τῇ σῇ συνέσει κἂν μὴ πόρρω βάλλω τοῦ εἰκότος καὶ τἄλλα τῆς Ἀκινδύνου κακονοίας ὑμῖν ἀντι σκοποῦ προθείς, τουτων εὐθὺ πέμπειν παρακαλέσω τὰς ἐκ λόγων βολίδας. Χρῆσθαι γὰρ ὑπὲρ εὐσεβείας τῇ δυνάμει τῶν λόγων τοῖς καθ' ὑμᾶς δια βίου περὶ λόγους ἐσχολακόσι τῶν ὀφειλομένων διαφερόντως. Εἰ γὰρ καὶ βίος ὑμῖν ὁ λόγος, ἀλλὰ καὶ πρὸ τοῦ βίου τὸ εὐσεβεῖν ἄνωθεν ἐκ προγόνων οἷά τινα κλῆρον ὑπερκόσμιον ὄντως ἐφ' ὑμᾶς εἰλικρινῆ καὶ ἀμείωτον καταβαίνοντα κεκτημένοις τὰ θεῖα φρονεῖν ὡς εἶναι πολλαχῶς ἀλλ' οὐχ ἑνὶ τρόπῳ πρὸς ὑμᾶς λέγειν ἐκεῖνο τὸ ἀποστολικόν· ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστὲ ἐν Χριστῷ Ἰησοῦ ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. Ἐρρωμένος μοι διαβιώης καὶ τῆς συνουργοῦ τροφῆς παραβαλλομένης δαψιλοῦς παρὰ τῆς Ἀκινδύνου Κίρκης ἄγευστος μετὰ τῶν φίλων ἑταιρων· ἀνύσιμον δ' ἕξεις τὴν εὐχὴν εἰ παρ' εὐαγοῦς Ἑρμοῦ λαβὼν ἔχεις τὸ λωτὸν καὶ μάλιστ' ἐπὶ νοῦν τοὺς τῇ εὐσεβείᾳ δηλονότι συνηγόρους λόγους.

3. **Θεοφάνους Νικαίας**

α'. "Διάλεξις ὀρθοδόξου μετὰ Βαρλααμίτου κατὰ μέρος ἀνασκευάζουσα τὴν Βαρλααμίτιδα πλάνην." Ἀρχ. Ὀρθόδοξος. Μαθεῖν ἐβουλόμην παρ' ὑμῶν. Ἴδ. καὶ 3728 (194), 14. —β'. "**Τοῦ αὐτοῦ** ὀρθοδόξου **Θεοφάνους** Διάλεξις δευτέρα πρὸς τὸν ἀπο Βαρλααμιτῶν ἐπιστρέψαντα Θεότιμον. Θεοφάνης, ἢ περὶ θεότητος καὶ τοῦ κατ' αὐτὴν ἀμεθέκτου τε καὶ μεθεκτοῦ." Ἀρχ. Θεοφάνης. Ἐπεσκέψω κατα σεαυτὸν γενόμενος ἀδελφὲ Θεότιμε τὰ ὡμιλημένα ἔναγχος ἢ καθάπερ τινα περιττὴν ἀδολεσχίαν ἀμελέτητον ἀφεὶς καὶ λελη-

θότως ὑπεκπνεῖν κατὰ μικρὸν ἐάσας τῶν τῆς σῆς ψυχῆς ἐξεφόρησας τελέως λογισμῶν.

4. **Ἰωσὴφ τοῦ Βρυεννίου.**

α΄. "Λόγος περὶ τοῦ ἁγίου πνεύματος ὅτι ἐκ τοῦ πατρὸς μόνον τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται." Ἀρχ. Ἄνδρες ἠγαπημένοι γνήσιοι φίλοι καὶ ἀδελφοὶ ἐν Χριστῷ ἀκούσατέ μου τῆς φωνῆς.—β΄. "**Τοῦ αὐτοῦ** Τί χρὴ καὶ λέγειν ἐπὶ ταῖς γενομέναις εὐποιΐαις τῶν ἀπελθόντων ἕνεκεν εἰ παντελῶς ἀπαλάττειν αὗται ἰσχύουσι τῶν ἁμαρτημάτων αὐτούς." Ἀρχ. Ὅτι μὲν οὖν οὐ χρὴ κατά τι δικάζειν.—γ΄. "Περὶ τὸ ὁποῖον ἀπαντᾷ τέλος ταῖς ψυχαῖς χωριζομέναις τοῦ σώματος καὶ ὅπου περ αὗται ἀπέρχονται. **Τοῦ αὐτοῦ.**" Ἀρχ. Καὶ περὶ μὲν τῶν δικαίων τί χρὴ καὶ λέγειν.

5. **Ἀναστασίου Ἀντιοχείας** Ἀποσπάσματα.

Ἀρχ. Πίστις ἐστὶν ἐνδιάθετον ἀγαθόν.

6. "Περὶ τῶν Φραγγῶν πῶς ἐσχίσθη ἡ ἐκκλησία τῆς Ῥώμης ἀπὸ τῶν τεσσάρων πατριαρχῶν τῆς Κωνσταντινουπόλεως καὶ τῶν λοιπῶν."

Ἀρχ. Ἦν ἐν τῇ ἁγίᾳ καὶ ἑβδόμῃ συνόδῳ Ἀδριανὸς πάπας Ῥώμης.

7. "Κεφάλαια ὠφέλιμα."

Ἀρχ. Ὄψις γυναικῶν βέλος ἐστὶ πεφαρμακευμένον.

8. **Ἀθανασίου Ἀλεξανδρείας** Πρὸς Ἀντίοχον ἄρχοντα Περὶ πλείστων καὶ ἀναγκαίων ζητημάτων.

Προτάσσεται Πίναξ τῶν ἐρωτήσεων.

3753. 219. Χαρτ. 8. XV. (φ. β΄ 174).

1. **Ἰωάννου τοῦ Χρυσοστόμου**

α΄. Ἀποσπάσματα διαφόρων λόγων.—β΄. "Λόγος παρακλητικὸς πρός τινα δαιμονιῶντα ἀσκητὴν Σταγείριον."—γ΄. "Ἐκ τῆς πρὸς Κολοσσαεῖς πέμπτης ὁμιλίας **τοῦ Χρυσοστόμου** περὶ τὰ μέσα τοῦ λόγου."—δ΄. "Ἐκ τῆς κγ΄ ὁμιλίας τοῦ κατὰ Ματθαῖον."

2. **Γρηγορίου τοῦ Θεολόγου** Ἀπόσπασμα.

Ἀρχ. Εἰ μὲν κοινωνεῖ τῷ πατρὶ κατὰ τὸ θεογόνον ὁ υἱός.

3. **Γρηγορίου Νύσσης** "Ἐκ τοῦ εἰς τοὺς κοιμηθέντας λόγου."

Ἀρχ. Ἐπειδὴ γὰρ θεοειδὴς ὁ ἄνθρωπος ἐγένετο.

4. "Δήλωσις καὶ διάταξις τῆς λειτουργίας."

5. Οἱ κδ΄ οἶκοι τῆς Θεοτόκου.

6. "Διάταξις τῶν χειροτονιῶν πότε καὶ πῶς γίνεται ἑκάστη."

7. "Περὶ ἐκπλύσεως ἁγίας τραπέζης."

8. **Ἰωάννου τοῦ Χρυσοστόμου**

"Ἐκ τῆς μα΄ ὁμιλίας τοῦ κατὰ Ἰωάννην εὐαγγελίου περὶ τὸ τέλος αὐτῆς."

9. "Στιχηρὰ ψαλλόμενα εἰς σεισμόν."

10. "Κανὼν παρακλητικὸς εἰς τὸν σεισμόν."

11. "Τακτικὸν συνοπτικὸν...τῆς μεγάλης ἐκκλησίας.

Ἔκθεσις νέα **πατριαρχεύοντος** τοῦ κυροῦ Νείλου γραφεῖσα καὶ ἐκτεθεῖσα κατὰ τὸ ἑξακισχιλιοστὸν ὀκτακοσιοστὸν ἐνενηκοστὸν πέμπτον ἔτος. Ὅπως ὁ πατριάρχης Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς γράφει τῷ Πάπα."

12. "Περὶ τῆς τάξεως τῶν θρόνων τῶν μητροπολιτῶν."

13. "Τάξις προκαθεδρίας τῶν ὑπὸ τὸν ἀποστολικὸν θρόνον Κωνσταντινουπόλεως τελούντων μητροπολιτῶν καὶ τῶν ὑπ' αὐτοὺς ἐπισκόπων."

14. "Ἔκθεσις νέα ὅπως γράφει νῦν ὁ Κωνσταντινουπόλεως πατριάρχης τῷ πάπᾳ Ῥώμης καὶ τοῖς λοιποῖς πατριάρχαις καὶ ἀρχιεπισκόποις μητροπολίταις τε καὶ τοῖς κοσμικὰς ἀρχὰς διϊθύνουσιν."

15. "Ὅσαι ἐπισκοπαὶ ἑκάστῃ μητροπόλει ὑπόκεινται."

Ἀρχ. Τῇ Καισαρείᾳ Καππαδοκίας ὁ Νύσσης.

16. "Αἱ ὑποκείμεναι τῇ ἐκκλησίᾳ Κωνσταντινουπόλεως μητροπόλεις καὶ ἀρχιεπισκοπαί."

17. "Ὅπως προβιβάζεται ἐπίσκοπος εἰς μητροπολίτην."

Ἀρχ. Εἰ μὲν ἡ ἐκκλησία αὐτοῦ τιμᾶται εἰς μητρόπολιν ἐξ ἐπισκοπῆς.

18. "Ἐνταλτήριον γράμμα εἰς πνευματικόν."

19. "Τοῦ πατριάρχου **Μιχαὴλ τοῦ Αὐτορειανοῦ** Ἀφέσιμον πρός τινα."

Ἀρχ. Ὁ Θεὸς ὁ ἅγιος, ἡ τοῦ ἐλέους πηγὴ καὶ τῆς ἀγαθότητος ἄβυσσος.

20. "**Τοῦ αὐτοῦ πατριάρχου** Λύσις ἀφορισμοῦ προσγεγονότος ἐπί τινα καὶ τελευτήσαντα οὕτως."

Ἀρχ. Ὁ Θεὸς ὁ ἅγιος καὶ ποιητὴς τοῦ παντός.

21. "Τίνος χάριν ἀπὸ τοῦ Ὀκτωβρίου μηνὸς ἄρχονται οἱ κύκλοι τοῦ ἡλίου."

22. "Περὶ τοῦ τῆς σελήνης κύκλου."

23. "Περὶ τοῦ Πάσχα ἀπὸ τοῦ **κῦρ Ματθαίου** [**Βλαστάρεως** ;] τῆς δευτέρας."

Ἀρχ. Ἐν τοῖς χρόνοις Ναβουνουσάρου περὶ λῆξιν ἑσπέραν.

24. "Περὶ τοῦ διατὶ μέχρι τῶν ιθ΄ οἱ τῆς σελήνης ἀναβιβάζονται κύκλοι."

25. "Περὶ τοῦ πότε ἄρχεται ὁ τῆς σελήνης κύκλος καὶ ὁ θεμέλιος αὐτῆς."

26. "Περὶ βιβλίων τῆς θείας Γραφῆς γνησίων καὶ νόθων."

Ἀρχ. Ὀγδοηκοστὸς πέμπτος κανὼν τῶν ἁγίων Ἀποστόλων ταυτί φησι τὰ βιβλία διαφερόντως πρεσβεύειν χρή.

27. "Περὶ τῆς τελευτῆς Νῶε καὶ περὶ τῆς γενεαλογίας τῶν υἱῶν Νῶε ἐκ τῆς θείας Γραφῆς."

28. "Περὶ τῆς οἰκοδομηθείσης πόλεως καὶ τοῦ πύργου."

29. "Περὶ τῆς γενεαλογίας ἀπὸ τοῦ Σὴμ ἕως Ἀβραάμ."

30. "Τοῦ λογιωτάτου καὶ σοφωτάτου **Φιλῆ** Μετάφρασις τῶν οἴκων τῆς ὑπεραγίας Θεοτόκου."

31. **Γρηγορίου Νύσσης** "Ἐκ τοῦ λόγου τοῦ ἐπιγραφομένου τὰ Μακρίνια."

32. **Ἰωάννου τοῦ Χρυσοστόμου** Ἀπόσπασμα

"ἐν τῷ Ἠθικῷ τῆς μζ' ὁμιλίας τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου."

33. "Εἰς τοὺς αἴνους στιχηρὰ ἦχ. δ'."

34 (φ. 156 α). "Κανὼν περὶ ὑπομονῆς καὶ εὐχαριστίας

οὗ ἡ ἀκροστιχὶς Ψυχὴ τὰ δεινὰ μὴ λυποῦ παρατρέχειν **Μάζαρι.**"

Ἀρχ. Ὠδὴ α' ἦχ. πλ. δ' Ἁρματηλάτην Φαραώ.

Ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς τῷ κτίστει σου ἐν περιστάσει τινὶ ἀνιαθεῖσά πως ἐκ καρδίας ᾄδουσα ψυχή μου μεταβίβασον πρὸς χαράν σου τὴν λύπην πνευματικῶς καὶ κουφίσθητι· λύπης γὰρ Θεὸς παραμύθιον. Τέλ. Συνετωτέρως παντάναξ· σοὶ τὸ ἐφύμνιον ᾄδω· καὶ τὴν εὐχὴν ἐκπληρῶ σοι· καὶ ἐντολὴν τῷ δεσπότῃ· ὧν δὲ λοιπὸν χρείαν ἔχω σὺ προϋξεπίστασαι πάτερ.

35 (φ. 160 α). [**Τοῦ αὐτοῦ**] "Οἶκοι κατὰ ἀλφάβητον

πρὸς τὸ Ἄγγελος πρωτοστάτης."

Ἀρχ. Ἄνθρωπον ὡς ἀδάμαντ' ἄλλον λίθον δεῖ εἶναι ἐν ἅπαντι τῷ παρόντι βίῳ καὶ σὺν στερρότητι λογισμοῦ τὰ συμβαίνοντά οἱ παρ' ἐλπίδ' ἄδοξα προθύμως ὑποδέχεσθαι. Τέλ. Ὦ μεσίτρια κόσμου δέσποινα Θεοτόκε ...ὅτι ἀεὶ πρεσβεύειν οὐ πέπαυσαι· ὅτι παντὶ μεσίτης γεγένησαι· ὅτι εἰς σὲ τίθεμεν τὰς ἐλπίδας· ὅτι ἐν σοὶ καὶ σωθῆναι θαρροῦμεν· εὐχαρίστως διάγοντες.

Οἱ ὑπ' ἀρ. 34 καὶ 35 Κανόνες τοῦ **Μάζαρι** εἰσὶν ἀντίγραφα νεώτερα τῶν αὐτῶν κανόνων (ἀρ. 36 καὶ 37), γεγραμμένων καθ' ὃν χρόνον καὶ ὁ λοιπὸς κῶδιξ τὸν XV αἰῶνα. Τὰ δ' ἀντίγραφα ἐγένοντο τὸν XVII αἰῶνα, διὸ ἐν τέλει τοῦ ὑπ' ἀρ. 35 γέγραπται· αχξδ' (=1664).

36. "Κανὼν περὶ ὑπομονῆς καὶ εὐχαριστίας..."

Ἴδ. ἀρ. 34.

37. "Οἶκοι κατὰ ἀλφάβητον..."

Ἴδ. ἀρ. 35.

38. Χρονικὸν ἀνεπίγραφον βραχύτατον.

Ἀρχ. Τὴν Κωνσταντινούπολιν παρέλαβον οἱ Λατῖνοι κατὰ τὸ ,ϛψιβ'ον ἔτος Ἀπριλίου ιδ' ὥρα δευτέρα κρατήσαντες αὐτὴν ἐπὶ χρόνους νη'. Τέλ. κατὰ τὸν Ἰούνιον μῆνα τοῦ ,ϛϡμγ' ἔτους ἀπέστειλεν ὁ υἱὸς αὐτοῦ ὁ δεσπότης τοῦ Μορέως κῦρ Θεόδωρος ἀξιόλογόν τι πρᾶγμα χρυσοκλαδαρικὸν τὰς στήλας τοῦ τε βασιλέως τοῦ πατρὸς αὐτοῦ καὶ τῆς δεσποίνης τῆς μητρὸς αὐτοῦ, ἃς καὶ ἔστησαν πλησίον τοῦ τάφου τοῦ βασιλέως. Λέγεται ὅτι ἐξοδιάσθησαν εἰς κατασκευὴν αὐτῶν (=νομίσματα) ,δ'.

3754. 220. Χαρτ. 8. XVII.

1. "Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

Συμεὼν τοῦ νέου θεολόγου, ἡγουμένου χρηματίσαντος μονῆς τοῦ ἁγίου Μάμαντος τῆς Ξυλοκέρκου."

Ἀρχ. Χρῆμα θερμὸν ἀρετὴ καὶ δεινὸν μὲν ἐμφυσῆσαι τοῦ πόθου τοὺς ἄνθρακας.

2. **Συμεὼν τοῦ νέου θεολόγου** λόγοι νζ'.

α'. "Περὶ ἀγάπης καὶ ποῖαι εἰσὶ τῶν πνευματικῶν ἀνδρῶν αἱ ὁδοὶ καὶ πράξεις καὶ μακαρισμὸς πρὸς τοὺς ἔχοντας τὴν ἀγάπην ἐγκάρδιον."—β'. "**Τοῦ αὐτοῦ** Περὶ τοῦ φεύγειν τοὺς λοιμοὺς καὶ φθοροποιοὺς τῶν ἀνθρώπων καὶ τοὺς λόγους αὐτῶν ἀποπέμπεσθαι καὶ πρὸς τὴν ἐργασίαν τῆς ἀρετῆς ἀναστῆναι ἔτι δὲ καὶ περὶ τοῦ δεῖν σκοπεῖν εἰ τὰ τῶν μακαρισμῶν τοῦ Ἰησοῦ Χριστοῦ ἐν ἑαυτοῖς ἔχωμεν καὶ περὶ δακρύων καὶ κατανύξεως Λόγος βος."—...νϛ'. "**Τοῦ αὐτοῦ** Περὶ τοῦ μὴ δεῖν λέγειν ὅτι ἀδύνατον νῦν εἰς ἄκρον ἐλθεῖν ἀρετῆς τὸν βουλόμενον καὶ τοῖς πάλαι ἁμιλληθῆναι ἁγίοις καὶ ὅτι πᾶς ὁ τὰ ἐναντία διδάσκων τῶν θείων γραφῶν νέαν αἵρεσιν τοῖς πειθομένοις αὐτῷ δογματίζει καὶ περὶ δακρύων, ὅτι ἐκ φύσεως ἡμῖν τὰ δάκρυα πρόσεστι Λόγος νϛ'."—νζ'. "**Τοῦ αὐτοῦ** Ὅτι δεῖ τὸν Χριστιανὸν γενναίως καὶ μακροθύμως ὑποφέρειν πάντων τῶν ἐπερχομένων αὐτῷ πειρασμῶν τὰς ἐπιφορὰς Λόγος νζ'."

3. "**Τοῦ αὐτοῦ** Ἐκ τῶν θείων ὕμνων Λόγος α'."

Ἀρχ.

Ἄφες κόσμον ἅπαντα καὶ τοῖς ἐν κόσμῳ
μόνον προλαβοῦ τὸ μακάριον πένθος.

Ἕπονται Ποιήματα διάφορα ἐκ διαφόρων Λόγων ἐν ποικίλοις μέτροις, τινὰ μὲν ἐν ἀρχαΐζουσιν ἰαμβικοῖς τριμέτροις, ἄλλα δ' ἐν πολιτικοῖς στίχοις καὶ ἄλλα ἐν τονικοῖς τροχαϊκοῖς μέτροις, οἷον·

Πῶς ὑμνήσω, πῶς δοξάσω, πῶς ἀξίως εὐφημήσω
τὸν πολλὰ παραδραμόντα ἁμαρτήματα Θεόν μου.

Ἐν τέλει Πίναξ τῶν λόγων.

3755. 221. Χαρτ. 8. XVII.

Ἰωάννου **Νάγγοε** βοεβόδα καὶ αὐτοκράτορος Οὐγγροβλαχίας Λόγοι.

α'. "Τοῦ ἐκλαμπροτάτου καὶ εὐσεβεστάτου αὐθέντου **Ἰωάννου Νάγγοε** μεγάλου βοεβόδα καὶ αὐτοκράτορος μεγάλης Οὐγγροβλαχίας Λόγος διδακτικὸς περὶ ἀγάπης Θεοῦ πρὸς τὸν ἠγαπημένον αὐτοῦ υἱὸν Θεοδόσιον καὶ πρὸς ἑτέρους αὐθέντας καὶ ἄρχοντας πατριάρχας τὲ καὶ ἀρχιεπισκόπους καὶ πλουσίους καὶ πένητας." Ἀρχ. Λέγει μὲν ἡ θεία Γραφὴ Δίδου σοφῷ ἀφορμὴ καὶ σοφώτερος ἔσται.—β'. "Διδασκαλία ἑτέρα πρὸς τὸν ἠγαπημένον υἱὸν αὐτοῦ Θεοδόσιον καὶ παροιμία ψυχωφελὴς περὶ ἐλεημοσύνης καὶ περὶ τοῦ βίου τοῦ ματαίου κόσμου τούτου." Ἀρχ. Ὑπόθες μοι πάλιν τὰς ἀκοάς μου προσεχῶς υἱὲ Θεοδόσιε καὶ ἄκουσον.—γ'. "Ἐπιστολὴ πρὸς τὰ λείψανα τῆς μητρὸς αὐτοῦ Νεάγγας καὶ τῶν υἱῶν αὐτοῦ Πέτρου καὶ Ἰωάννου καὶ τῆς θυγατρὸς αὐτοῦ Ἀγγελίνας καὶ Λόγος θρηνητικὸς περὶ αὐτῶν." Ἀρχ. Ἐκ τῆς θείας χάριτος πάτερ ἀγαθὲ καὶ διδάσκαλε καὶ ἐνώπιον ἡμῶν λίαν ἠγαπημένε.—δ'—ια'. Ἕτεραι ὀκτὼ Διδαχαὶ καὶ παραινέσεις τοῦ αὐτοῦ πρὸς τὸν υἱὸν Θεοδόσιον καὶ τοὺς λοιποὺς ἄρχοντας.—ιβ'. "Προσευχὴ τοῦ ἐκλαμπροτάτου καὶ εὐσεβεστάτου αὐθέντου **Ἰωάννου Νάγγοε** βοεβόδα καὶ αὐτοκράτορος μεγάλης Οὐγγροβλαχίας πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τὴν ἔξοδον τῆς ψυχῆς." Ἀρχ. Ἐλέησόν με Ἰησοῦ Χριστὲ γλυκύτατε Θεέ μου ἐλέησόν με ὅτι σὺ εἶ ἡ ἀνάστασις καὶ ἡ ζωή.

3756. 222. Χαρτ. 8. XVI.

"Βιβλίον πρῶτον τῆς Ἑξαημέρου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἰωάννου τοῦ Χρυσοστόμου.**" Ὁμιλίαι λ'.

3757. 223. Χαρτ. 8. XVII. (φ. 341).

1 (φ. 1 α). "Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐπραξίας

μεταφρασθεὶς εἰς τὴν κοινὴν γλῶτταν παρὰ **Ἰγνατίου ἱερομονάχου.**"

2 (φ. 71 α). "Περὶ τοῦ ἀδελφοῦ οὗ ἡ δελφὴ ἦν πόρνη καὶ πῶς μετενόησεν."

Ἀρχ. Ἀδελφὸς τὶς ἐκάθητο εἰς κελλίον τῆς Αἰγύπτου ἐν πολλῇ ταπεινώσει.

3 (φ. 73 α). **Ἰωάννου τοῦ Χρυσοστόμου.**

Ἀρχ. Ὅσοι τὰ τοῦ βίου μάταια καὶ ἀπολλύμενα πράγματα κατελίπετε.

4 (φ. 79 α). Βίος καὶ πολιτεία Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.

5 (φ. 89 α). Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου.

6 (φ. 101 β). Βίος καὶ πολιτεία ὁσίου Ξενοφῶντος.

7 (φ. 118 β). "Μαρτύριον τῆς ἁγίας καὶ καλλινίκου μεγαλομάρτυρος τοῦ Χριστοῦ Εἰρήνης."

Ἀρχ. Κατὰ τοὺς προλαβόντας χρόνους γέγονέ τις βασιλεὺς ὀνόματι Λικίνιος. Μένει ἀτελὴς ἐν ταῖς λέξεσι· καὶ κύκλοθεν τοῦ πύργου τεθεῖναι τεῖχος...

8 (φ. 119 α). "Διήγησις περὶ τοῦ ἀνθρώπου καὶ τοῦ ὄφεως."

9 (φ. 127 α). Μαρτύριον ἁγίου Παντελεήμονος.

10 (φ. 162 β). "Διήγησις πάνυ ὠφέλιμος **Μακαρίου μοναχοῦ τοῦ Αἰγυπτίου.**"

Ἀρχ. Πορευόμενος ποτὲ τὶς τῶν ἁγίων πατέρων.

11 (φ. 171 α). Μαρτύριον τῆς ἁγίας Ἀναστασίας.

12 (φ. 178 β). Μαρτύριον ἁγίου Χαραλάμπους "*μεταγλωττισθεὶς παρὰ* **Δανιὴλ ἱερομονάχου** *ἐκ τῆς τῶν Ἰβήρων μονῆς.*"

Ἀρχ. Συνήθειαν ἔχουσιν οἱ ἄριστοι τῶν ἰατρῶν, χρησιμώτατοί μου ἀκροαταί, ὅταν θέλουσι διὰ νὰ ἰατρεύσουν.

13 (φ. 202 β). Μαρτύριον ἁγίας Αἰκατερίνης.

14 (φ. 222 β). Βίος καὶ πολιτεία Μακαρίου τοῦ Ῥωμαίου.

15 (φ. 239 α). "Βίος καὶ πολιτεία τοῦ ἁγίου *καὶ δικαίου Φιλαρέτου τοῦ Ἐλεήμονος τοῦ νέου Ἰὼβ χρηματίσαντος τοῦ γενομένου πάππου Μαρίας τῆς βασιλίσσης, συζύγου Κωνσταντίνου τοῦ βασιλέως.*"

16 (φ. 257 β). Βίος καὶ πολιτεία Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ.

17 (φ. 266 α). "Θαῦμα γενόμενον ἐν τῇ εἰκόνι *τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τοῖς Χαλκοπρατείοις.*"

Ἀρχ. Ἐν Κωνσταντινουπόλει φαρμακός τις πονηρότατος πάνυ ὁ λεγόμενος μεσίτης.

18 (φ. 267 β). "Περὶ τοῦ ἀδελφοῦ τοῦ εἰς πορνείαν πολεμουμένου."

19 (φ. 269 α). "Διήγησις θαυμαστὴ περὶ τοῦ ταξεώτου."

Ἀρχ. Ἐν τοῖς χρόνοις Νικήτα πατρικίου ἐν Καρταγένῃ τῆς Ἀφρικῆς.

20 (φ. 271 β). "Περὶ κρίσεως καὶ τόπων καὶ κολαστικῶν."

Ἀρχ. "Ὁ ἅγιος ἱερομάρτυς οὗτος πατρίκιος ἔφη."

21 (φ. 272 β). "Διήγησις περί τινος γέροντος *σημειοφόρου μοναχοῦ πῶς ἀπεκαλύφθη αὐτῷ τὰ περὶ τοῦ βασιλέως Θεοδοσίου.*"

Ἀρχ. Γέρων τις ἐκαθέζετο ἐν τῇ ἐρήμῳ.

22 (φ. 277 α). "Παραίνεσις πρὸς τοὺς θέλοντας *σωθῆναι μοναχοὺς ὡς ἐν συνόπτῳ τοῦ ἐπισκόπου ἐλαχίστου* **Δαμασκηνοῦ Λιτῆς καὶ Ῥενδίνης** *καὶ προέδρου Πολιανῆς.*"

Ἀρχ. Ἀδελφοὶ καὶ πατέρες ἐπειδὴ τὸν κόσμον ἀφήσαμεν.

23 (φ. 285 α). "Ἐκ τῶν τοῦ μεγάλου πατρὸς ἡμῶν **Βασιλείου Καισαρείας** *Ἀσκητικῶν περὶ πῶς ὀφείλει διάγειν ἐν κοινοβίῳ καὶ ὅπως λέγονται κοινοβιάται, θαυμαστόν.*"

24 (φ. 287 α). "Κανὼν τῆς Χριστοῦ γεννήσεως, *ποίημα* **Κοσμᾶ μοναχοῦ**, *οὗ ἡ ἀκροστιχὶς Χριστὸς βροντωθεὶς ἦν ὅπερ Θεὸς μένει.*"

25 (φ. 296 β). "Ἕτερος κανὼν ἰάβιτικὸς *φέρων ἀκροστιχίδα τήνδε δια στίχων ἡρωϊκῶν Εὐεπίης μελέεσσιν ἐφύμνια ταῦτα λιγαίνει.*"

26 (φ. 315 β). "Ἕτερος κανὼν ἰαμβικὸς *τοῦ ἁγίου* **Ἰωάννου τοῦ Δαμασκηνοῦ**, *οὗ ἡ ἀκροστιχὶς διὰ στίχων ἡρωελεγείων Σήμερον ἀχράντοιο βαλὼν θεοφθογγέϊ πυρσῷ.*"

27 (φ. 325 α). "Κανὼν **τοῦ ἁγίου Κοσμᾶ** *εἰς τὴν ἁγίαν Πεντηκοστὴν, οὗ ἡ ἀρχὴ Πεντηκοστὴν ἑορτάζομεν.*"

28 (φ. 330 α). "Ἕτερος κανὼν ἰαμβτικὸς *εἰς τὴν Πεντηκοστήν...Ἡ ἀκροστιχὶς Θειογενὲς λόγε πνεῦμα παράκλητον πάλιν ἄλλον.*"

Ἐν τοῖς ὑπ' ἀρ. 24—28 *Κανόσιν ἕπεται εἰς ἑκάστου τροπαρίου τὸ κείμενον ἑκάστοτε ἡ Σύνταξις τοῦ κειμένου.*

Τὰ ὑπ' ἀρ. 1, 4—6, 9, 12—15, 22 *ἐν τῇ καθωμιλημένῃ.*

3758. 224. Χαρτ. 8. XVI. (σ. 1360).

1 (σ. 1). "Προοίμιον."

2 (σ. 1). "Πίναξ ἀκριβὴς τῆς παρούσης πικτῦδος."

3 (σ. 2). "Πίναξ ἀκριβὴς τῆς δευτέρας πικτῦδος."

Ἐν τέλει· Ἔτος ἀπὸ κτίσεως κόσμου ,ζξη', τὸ δὲ ἀπὸ Χριστοῦ ,αφξ' ἰνδ. γης. Ἰδοὺ σημείωσαι καὶ τὸν ἐμπρησμὸν τοῦ μοναστηρίου διὰ τὸ ἀμφίγνομον ὅτι οἱ μὲν λέγουσι φιλονείκως ἐν τῷδε τῷ ἔτει, οἱ δὲ τῷδε. Δια τοῦτο οὖν γινώσκετε πάντες τὴν ἀλήθειαν ὅτι ὁ ἐμπρισμὸς ἐγένετο ἐν μηνὶ Ὀκτωβρίῳ κε' ἡμέρᾳ Κυριακῇ ἔτος ,ζμηω. Ἐγὼ δὲ ἐχειροτονήθην πρεσβύτερος ἐν τῷ ζμα' ἔτει μηνὸς Ἰουνίου κδη ἤτοι τὸ γεννέσιον τοῦ Προδρόμου.

4 (σ. 3). **Συμεὼν Θεσσαλονίκης.**

α' (σ. 3) *Θεολογικαὶ πραγματεῖαι (ἀκέφ.). Ἀρχ...τοῦ πνεύματος ἐπ' αὐτὸν ἐν εἴδει περιστερᾶς καὶ ὁ Ἠσαΐας περὶ τούτου ὥσπερ ἀπ' αὐτοῦ φησὶ τοῦ Χριστοῦ. Τέλ. καὶ ἐνταῦθα δὲ εἰς τύπον τῆς θείας ὡς εἰρήκαμεν ἐλεημοσύνης εἰς ἡμᾶς καὶ συμπαθείας τοῦτο τὸ ἔλαιον ἐπισπώμεθα. Ἐμπεριέχονται τὰ κεφάλαια Περὶ ἱερουργίας, Περὶ χειροτονίας, Περὶ γάμου, Περὶ παρθενίας, Περὶ μετανοίας καὶ ἐξαγορεύσεως, Περὶ τοῦ δεσμεῖν καὶ λύειν, Περὶ τοῦ ἁγίου ἐλαίου ἤτοι τοῦ εὐχελαίου.*—β'. (σ. 11). "*Ἑρμηνεία πονηθεῖσα τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ* **Θεσσαλονίκης** *κῦρ* **Συμεὼν** *περὶ τοῦ θείου ναοῦ καὶ τῶν ἐν αὐτῷ ἱερέων τὲ καὶ διακόνων ἀρχιερέων τὲ καὶ τῶν ὧν ἕκαστος τούτων στολῶν ἱερῶν περι-*

βάλλεται, οὐ μὴν ἀλλὰ καὶ περὶ τῆς θείας μυσταγωγίας λόγον ἑκάστῳ διδοῦσα τῶν ἐν αὐτῇ μοναχοῖς θείοις(;)καὶ τοῖς ἐν Κρήτῃ *εὐσεβέσι ζητήσασιν ἀποσταλεῖσα."*—γ' (σ. 33). "*Περὶ τοῦ ἱεροσολυμιτικοῦ τυπικοῦ.*" Ἀρχ. *Πάσαις σχεδὸν ταῖς μοναῖς καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις ἡ τοῦ ἀπὸ τῶν Ἱεροσολύμων τυπικοῦ τῆς μονῆς τοῦ ἁγίου Σάββα τελεῖται τάξις.*—δ' (σ. 60). "*Περὶ τοῦ τέλους καὶ τῆς ἱερᾶς τάξεως τῆς κηδίας καὶ τῶν κατ ἔθος ὑπὲρ μνήμης γινομένων.*"—ε' (σ. 70). "*Περιεκτικὰ ὡς δυνατὸν τῆς μόνης τῶν Χριστιανῶν ἡμῶν πίστεως κεφάλαια ιβ' ἅπερ τινὲς ἄρθρα καλοῦσι τῆς πίστεως σαφέστερον συντεθέντα παρὰ τοῦ ταπεινοῦ ἀρχιεπισκόπου* **Θεσσαλονίκης** *κὺρ* **Συμεὼν** *διότι ταῦτα προέχει τὸ θεῖον σύμβολον καὶ περιεκτικῶν ἀρετῶν.*"—ϛ' (σ. 74). "*Τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου* **Θεσσαλονίκης** *κυροῦ* **Συμεὼν** *Ἀποκρίσεις πρὸς ἐρωτήσεις τοῦ ἱερωτάτου μητροπολίτου Πενταπόλεως κυροῦ Γαυριήλ.*" *Ἐρωτήσεις πε', ὧν α'* "*Τίνι τρόπῳ φαίνεται πολλάκις ὡς ἄνθρωπος ὁ ἄγγελος,*" *πε'* "*Περὶ λήθης τοῦ ἱερέως τοῦ μὴ ἕνωσιν γενέσθαι συνέβη καὶ καλύψει κενὸν τὸ ποτήριον.*"

5 (σ. 123). "Περὶ ἐξαγορεύσεως **Σωφρονίου Ἱεροσολύμων.**"

Ἀρχ. *Πολλοὶ τρόποι τῶν ἐξαγγελόντων εἰσίν.*

6 (σ. 124). "Νομοκάνων σὺν Θεῷ ἁγίῳ."

α'. Ἀρχ. *Ὁ δεχόμενος τοὺς λογισμοὺς τῶν ἀνθρώπων ὀφείλει εἶναι τύπος ἀγαθός.*—β' (σ. 130). "**Συνοδικοὶ** *καὶ* **ἀποστολικοὶ** *κανόνες καὶ* **τοῦ μεγάλου Βασιλείου.**" Κεφ. σλ' *βραχέα.*—γ' (σ. 171). "*Ἐκ τοῦ κανονικοῦ τοῦ ἁγίου* **Ἰωάννου τοῦ Νηστευτοῦ** *ἤμειψε ταυτὶ πρὸς σύνοψιν* **Ματθαῖος** [**ὁ Βλαστάρης**]."—δ' (σ. 177). "*Ἔκθεσις ἁπλουστέρα καὶ συντομωτέρα τῶν γαμικῶν συναλλαγμάτων, συντεθεῖσα παρὰ τοῦ λογιωτάτου μεγάλου χαρτοφύλακος τῆς μεγάλης ἐκκλησίας ἐπὶ ἔτους τῶν τρεχόντων ἑπτακισχιλιοστῷ τριακοστῷ ἑβδόμῳ. Ἐγένετω δὲ κατὰ τοῦτον τὸν τρόπον.*" Ἀρχ. *Ἐπειδὴ οἱ πρὸ ἡμῶν περὶ τῶν τοιούτων συγγεγραφότες διὰ τὸ ἀμφίγνωμον αὐτῶν ἀσαφῆ τὰ τοιαῦτα.*

Ἐν τέλει· *Ἐτελειώθη τὸ παρὸν νομοκάνονον παρὰ εὐτελοῦς Κλήμεντος, ἔτος δὲ ἀπὸ κτίσεως κόσμου ζξη'* (=1560).

7 (σ. 185). "*Ἀπὸ τὸ μέγα νομοκάνονον τὸ ἐξηγημένον συντάγματα τινά.*"

Ἀρχ. *Ἀπὸ τὰ κεφάλαια τῶν ἁγίων Ἀποστόλων* **Ζωναρᾶ.** Κεφ. α'. *Ἐπίσκοπος χειροτονείσθω ὑπὸ ἐπισκόπων δύο ἢ τριῶν.* Ἑρμην. *Νῦν μὲν χειροτονία καλεῖται ἡ τῆς καθιερώσεως τοῦ ἱερᾶσθαι λαχόντος τελεσιουργία τῶν εὐχῶν.*

8 (σ. 197). **Ἀναστασίου τοῦ Σιναΐτου**

"*Ἀποκρίσεις πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἐρωτήσεις παρά τινων Χριστιανῶν ὀρθοδόξων.*" *Ἐρωτήσεις ρμγ', ὧν α'* "*Τί ἐστι τὸ σημεῖον τοῦ τελείου Χριστιανοῦ,*" *ρμγ'* "*Εἰ μολύνεται ὁ ὀρθὰ φρονῶν, μνημονεύων δὲ τοῦ αἱρετίζοντος.*"

Ἐν τέλει· *Τέλος ἔλαβον αἱ ἐρωταποκρίσεις παρ' ἐμοῦ Κλήμεντος ταπεινοῦ ῥακενδύτου ἐν μηνὶ Ἰουλίῳ ἔτος ,ζξε^{ῳ}* (=1557).

9 (σ. 351). "*Ἐπιστολὴ* **Ἀντιόχου μοναχοῦ**

τῆς παλαιᾶς λαύρας τοῦ ἀββᾶ Σάββα πρὸς Εὐστάθιον ἡγούμενον μονῆς Ἀτταλικῆς πόλεως Ἀγκύρας τῆς Γαλατείας." Κεφάλαια ρλ'.

Ἐν τέλει· *Τέλος καὶ τῷ Θεῷ δόξα, ἔτος δὲ τοῦ τρέχοντος ἀπὸ κτίσεως κόσμου, ἀπὸ κτίσεως ,ζξε^{ῳ} ἰνδ. ιε^{ης} κόσμου, ἀπὸ ,αφνζ' Χριστοῦ δέ* (=1557).

10 (σ. 455). "*Ἀποφθέγματα ἐκ διαφόρων βιβλίων ἐκ τοῦ* **Εὐαγγελίου, Ἀποστόλων** *τὲ καὶ* **προφητῶν** *καὶ ἐξ* **ἑτέρων ἁγίων** *ἐκ βιβλίων ἐκκλησιαστικῶν.*"

Κεφ. ογ', ὧν α' "*Περὶ ἀρετῆς καὶ κακίας.*"—β'. "*Περὶ φρονήσεως καὶ βουλῆς.*"—γ'. "*Περὶ ἁγνείας καὶ σωφροσύνης.*"—...ξθ'. "*Περὶ τοῦ ὅτι εὔκολος ἡ κακία καὶ δυσπόριστος ἡ ἀρετή.*"—ο'. "*Περὶ φιλαυτίας.*"—οα'. "*Περὶ τοῦ οὐκ ἀεὶ τὸ πλεῖον ἄριστον.*"—οβ'. "*Περὶ κρειττόνων ὅτι οὐ δεῖ μετ' αὐτῶν δια μάχεσθαι.*"—ογ'. "*Περὶ καταλαλιᾶς.*"

Ἐν ἑκάστῳ κεφαλαίῳ εὕρηνται τεταγμένα πάντοτε τἀποφθέγματα κατὰ τὴν ἑξῆς σειράν· **Τοῦ Εὐαγγελίου, τοῦ Ἀποστόλου, Σολομῶντος, Σιράχ, Βασιλείου** [**τοῦ μεγάλου**], [**Γρηγορίου**] **τοῦ Θεολόγου,** [**Ἰωάννου**] **τοῦ Χρυσοστόμου,** *εἶτα δ' ἕπονται κατὰ ποικίλην τάξιν ἄλλα ἐκ συγγραφέων ἐκκλησιαστικῶν ἢ τῶν θύραθεν.*

11 (σ. 491). Παράδεισος τῶν γερόντων.

α' (σ. 491). "*Πρόλογος περὶ βίου καὶ ἀσκήσεως τῶν ἁγίων πατέρων.*" Ἀρχ. *Ὁ ὢν ἐν ἀρχῇ πρὸς Θεὸν Θεὸς λόγος.* Ἕπονται "*Διηγήσεις καὶ παραινέσεις ἁγίων πατέρων*" εἰς λόγους κ', ὧν α' "*Παραινέσεις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος,*" β' "*ὅτι δεῖ τὴν ἡσυχίαν πάσῃ σπουδῇ μεταδιώκειν.*"... ιθ'. "*Περὶ ἀναχωρητῶν,*" κ' "*Περὶ ἐναρέτου πολιτείας.*"

Ἐπὶ τούτοις (σ. 611) "*Περὶ τοῦ Εὐφροσύνου τοῦ μαγείρου,*" (σ. 612) "*Τοῦ* **ἀββᾶ Μωϋσῆ** *κεφάλαια β'.*"

12 (σ. 613). "**Ἰωάννου** *μοναχοῦ τοῦ* **Εὐκρατᾶ**

Ἐκ τῶν πνευματικῶν λειμόνων κεφάλαια ρκθ'."

Ἀρχ. *Γέρων τὶς ἦν ἐν τῇ μονῇ τοῦ ἀββᾶ Εὐστοργίου ὀνόματι Ἰωάννης.*

13 (σ. 621). "Περὶ τοῦ μὴ ἔχειν αἱ μονάζουσαι προάστεια, τοῦ **ἀββᾶ Βισαρίωνος.**"

14 (σ. 623). "Λόγος ἀπὸ τὸ βιβλίον τὸ λεγόμενον

Παράδεισον εἴ τις εἶχε τοὺς βίους τῶν ἁγίων πατέρων ὧν ὁ συγγραφεὺς **Παλλάδιος ἐπίσκοπος** *περὶ τῶν τῆς Ἰνδίας ἐθνῶν καὶ τῶν Βραγμάνων.*"

Ἀρχ. *Ἡ πολλὴ φιλοπονία σου καὶ φιλομαθία καὶ φιλικοία.*

15 (σ. 626). "*Ἐκ τῆς ἑρμηνείας τῆς* **Κλίμακος**"

[**Ἰωάννου τοῦ Σχολαστικοῦ**], *καὶ* **Νείλου τοῦ ὁσίου** "*Περὶ τῶν ὀκτὼ λογισμῶν.*"

Ἀρχ. *Ὀκτὼ τοὺς τῆς κακίας λογισμοὺς πρωτεύοντας.*

16 (σ. 635). "Συναγωγὴ λέξεων συλλεγεῖσα

ἐκ διαφόρων βιβλίων τῆς παλαιᾶς τέ φημι Γραφῆς καὶ τῆς νέας καὶ αὐτῆς δήπου τῆς θύραθεν."

Ἀρχ. *Ἀρχὴ τοῦ α' μετὰ τοῦ α' ἀρσενικοῦ.* **Ἄαπτος** *ὁ ἀπροσπέλαστος ὃ οὐκ ἄν τις ἅψετο ἵν' ᾖ ἀπρόσιτον.* **Ἄαπτος** *ἀβλαβής. Οὐδέτερον* **Ἀαγὲς** *ἄθραυστον.* Τέλ. *Τὸ Ω μετὰ του Ψ.* **Ὤψ** *ὀφθαλμός. Ὢψ παρὰ τὸ ὅπτω τὸ βλέπω, σημαίνει δὲ τρία, δύο διὰ τοῦ Ω μεγάλου τὸ πρόσωπον καὶ τὸν ὀφθαλμόν, σημαίνει καὶ τὴν φωνὴν διὰ τοῦ Ο μικροῦ.* **Ὠψιζόμην** *ὀψὲ ἐποίουν, βράδιον ἠρχόμην.* **Ὠψὰ** *τὰ ὀπτητήρια.* **Ὤψουν** *ἐμαγείρευον, ὤπτουν.*

Τέλος τοῦ Ω μεγάλου στοιχείου καὶ πάσης τῆς βίβλου, ἔτος δὲ ἀπὸ κτίσεως κόσμου ,ζξϛ^{ῳ} (=1558).

17 (σ. 759). "Λεξικὸν ἕτερον κατὰ στοιχείων

τὰ ἐλίποντα τοῦ πρώτου λεξικοῦ ἀναπληροῦντα ὧδε."

Ἀρχ. **Ἀβρότονον** *εἶδος βοτάνης θαμνώδους, ἔστι δὲ πικρότατον.* **Ἀβρύνομαι** *καυχῶμαι, κοσμοῦμαι.* Τέλ. *παραπλησίως δὲ καὶ ἡ Πλειὰς ὀνομάζεται ὑπὸ τῆς Γραφῆς, φαίνονται δὲ καὶ ἐν τῇ Πλειάδι ἑπτὰ ἀστέρες συνεχεῖς καὶ καταπεπυκνωμένοι πρὸς ἀλλήλους, οὐχὶ δὲ ἕξ, ὅπερ τινὲς οἴονται.*

18 (σ. 773). "Λέξεις εἰς τὴν τῶν Ἑβραίων φωνήν."

Ἀρχ. Τὸ **ἤλ** Θεός, τὸ **ἐλωὲ** Θεὸς ἀεί.

19 (σ. 773). "Ἡ ὀνοματοποιΐα τῆς τοῦ ἀνθρώπου θέσεως."

Ἀρχ. *Τὸ ἁπαλὸν βρέγμα τὸ ἀνώτερον.*

20 (σ. 774). "Ἐκ τοῦ Ψαλτῆρος χρειαζόμενα τινὰ συνάματα."

Ἀρχ. **Τοῦ μεγάλου Βασιλείου** *Εἰς τὸν πρῶτον ψαλμόν. Καθάπερ οἱ οἰκοδόμοι κατὰ τὸ ὕψος τοῦ τείχους καταβάλλουσι καὶ τὸν θεμέλιον.* Τέλ. *τέλος τούτων καὶ τῷ Θεῷ ἡμῶν δόξα καὶ τέλος· ἔτος ἀπὸ κτίσεως κόσμου* ζοᵠ (=1562).

21 (σ. 779). "Συνάγματα ἐκ τοῦ κατὰ **Ματθαῖον** εὐαγγελίου."

Ἀρχ. *Εὐαγγέλιον οἱ Εὐαγγελισταὶ τὴν διήγησιν ὠνόμασαν.*

22 (σ. 795). "Ἑρμηνεία τοῦ κατὰ **Μάρκον** εὐαγγελίου Συνάγματα μερικά."

Ἀρχ. *Εὐαγγέλιον νῦν ὁ Μάρκος τὴν καινὴν Διαθήκην τὴν νέαν νομοθεσίαν τοῦ Χριστοῦ κέκληκε.*

23 (σ. 796). "Ἑρμηνεία τοῦ κατὰ **Λουκᾶν** εὐαγγελίου Μερικὰ συνάγματα."

Ἀρχ. *Ἀνατάξασθαι διήγησιν, ἀναγράψασθαι διήγησιν ἤγουν εὐαγγέλιον.*

24 (σ. 801). "Ἑρμηνεία ἐκ τοῦ κατὰ **Ἰωάννην** εὐαγγελίου."

Ἀρχ. *Ἐν ἀρχῇ ἦν ὁ λόγος. Ἀπὸ τὸν βίον τοῦ μεγάλου Βασιλείου ὃν ἔγραψεν* **Ἀμφιλόχιος.** *Ἐν ἀρχῇ ἦν ὁ λόγος ὅτι οὐδὲν ἄλλο ἦν εἰ μὴ αὐτὸς ὁ ὤν.*

25 (σ. 805). "Ἱστορία περὶ τῶν δ' Εὐαγγελιστῶν ποῦ ἕκαστος αὐτῶν ἔγραψε τὸ ἑαυτοῦ εὐαγγέλιον."

26 (σ. 807). "Ἀπὸ τῶν ἐπιστολῶν τοῦ **ἁγίου Παύλου** Τινὰ συνάγματα."

27 (σ. 823). "Ἐκ τῆς βίβλου τῆς λεγομένης Δογματικῆς πανοπλίας [**Εὐθυμίου τοῦ Ζυγαβηνοῦ**] Κεφάλαιά τινα συνάγματα εἰς μίαν ἑκάστην αἵρεσιν ἁρμόζοντα."

Διΐρηται εἰς κδ' τίτλους, ὧν α' "Τοῦ [**Ἰωάννου**] τοῦ Δασκηνοῦ [=**Δαμασκηνοῦ**] Συλλογιστικὴ ἀπόδειξις ὅτι ὑπάρχει Θεός," κδ' "Κατὰ Σαρακηνῶν."

28 (σ. 960). "Ἐκ τῶν κανόνων **τοῦ μεγάλου Βασιλείου** ἐκ τῆς πρώτης ἐπιστολῆς."

Ἀρχ. *Αἱρετικὸς ὁ κατα πίστιν ἀλλότριος.*

29 (σ. 963). "Μητροπολίτου **Κυζίκου** [**Δημητρίου**] Περὶ Ἰακωβιτῶν ἢ Χατζιτζαρίων," "Περὶ Μασσαλιανῶν τῶν νῦν λεγομένων Βογομίλων."

30 (σ. 963). "Περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων ποῦ καὶ πότε καὶ κατὰ τίνων ἑκάστη συνήχθη."

Ἀρχ. *Χρὴ δὲ γινώσκειν πάντα Χριστιανὸν ὅτι ἑπτά εἰσιν ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι.* Τέλ. *δι' ὧν γὰρ τῆς ὀρθοδοξίας προμάχων κατηγοροῦσι τοὺς διὰ τῶν πόνων αὐτῶν καρποὺς σκορπίζειν φιλονικοῦσι. Τούτους οὖν ἀποβάλλεται ὡς ἐχθροὺς τῆς ἀληθείας.*

31 (σ. 969). "**Πέτρου διακόνου καὶ φιλοσόφου** Ἔκθεσις περὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων."

Ἀρχ. *Πάντα φθαρτὰ καὶ τρεπτὰ τὰ κτιστὰ λέγειν τὲ καὶ φρονεῖν ὀφείλομεν.* Τέλ. *ὅσοι μὲν ἐξ αἵματος καθαροῦ τὴν σύστασιν ἔχουσιν οὗτοι πάντες χαίρουσι καὶ γελῶσιν, εἰσὶ δὲ ἀνδρεῖοι, καλόχροοι, ὅσοι δὲ ἀπὸ ξανθῆς χολῆς τυγχάνουσιν οὗτοι εἰσὶ γρήγοροι εὔτολμοι ὀργῖλοι πικροὶ καὶ ἀλλόχροοι, ὅσοι δὲ ἀπὸ μελαίνης χολῆς οὗτοι ῥάθυμοι, ὀλιγόψυχοι, φιλάσθενοι, ὀκνηροί, δειλοὶ καὶ μελάγχροοι, ὅσοι δὲ ἀπὸ φλέγματος οὗτοι λυπηροὶ καὶ δειλοὶ ψυχροὶ καὶ ἀμνήμονες καὶ διαλελυμένοι, χαῦνοι, μαλακοί, μῶμοι.*

32 (σ. 985). "**Ἱπποκράτους** Πρὸς **Γαληνὸν** αὐτοῦ μαθητὴν περὶ σφιγμῶν καὶ κράσεως ἀνθρωπίνων σωμάτων."

Ἀρχ. *Τὸ ἀνθρώπινον σῶμα ἐκ τεσσάρων χυμῶν συνίσταται.*

33 (σ. 985). "Ἐκ τοῦ **Δαμασκηνοῦ** τὴν βίβλον λόγος μζ'."

Ἀρχ. *Σῶμα ἐστὶ τὸ τριχῇ διαστατόν.*

34 (σ. 986). Περὶ τῶν μηνῶν Ὀκτωβρίου—Φεβρουαρίου ὑπὸ ἰατρικὴν καὶ φυσικὴν ἔποψιν.

προτάσσονται Στίχοι ἰατρικοί.

Ἀρχ. *Ἰστέον ὅτι ἐν τούτῳ τῷ μηνὶ Ὀκτωβρίῳ ζ' ἔστιν ἡ ἡμέρα ὡρῶν ια' ∠'' καὶ ἡ νὺξ ῑβ ∠''.*

35 (σ. 990). "Τοῦ **Πτωχοπροδρόμου** Μηνῶν παριστῶσαι ἐνεργείας στίχοις."

Ἀρχ. Μάρτιος.

Ἐγὼ στρατηγοὺς πρὸς πανοπλίαν ἄγω,
ξίφη τε θήγω καὶ καινουργῶ πρὸς μάχας.

36 (σ. 991). "Τοῦ σοφωτάτου **Βλυμήδους** Περὶ οὐρανοῦ καὶ γῆς ἐκ τῶν καθ' ἡμᾶς καὶ τῶν ἔξω σοφῶν."

Ἀρχ. *Τὸ τῆς γῆς σχῆμα οὔτε τρίγωνόν ἐστιν οὔτε τετράγωνον οὔτε πάλιν στρογγύλον, ἀλλὰ οἷον ἀμφικυκλόμηκον ἤγουν στρογγυλόμακρον.*

37 (σ. 994). **Ἰωάννου τοῦ Δαμασκηνοῦ**

α' (σ. 994). "Κεφ. μ' περὶ οὐρανοῦ." Ἀρχ. *Οὐρανὸς ἐστὶ περιοχὴ ὁρατῶν τὲ καὶ ἀοράτων κτισμάτων.*— β' (σ. 996). "Περὶ γῆς **τοῦ Δαμασκηνοῦ** κεφ. με'." Ἀρχ. *Ἡ γῆ ἓν τῶν τεσσάρων στοιχείων ἐστὶ ξηρόν τε καὶ ψυχρόν.*—γ' (σ. 997). "Περὶ τοῦ **παραδείσου** κεφ. μϛ'." Ἀρχ. *Ἐπειδὴ δὲ ἔμελλεν ὁ Θεὸς ἐξ ὁρατῆς τε καὶ ἀοράτου κτίσεως πλαστουργεῖν.*—δ' (σ. 998). "Περὶ ὑδάτων **τοῦ Δαμασκηνοῦ**." Ἀρχ. *Καὶ τὸ ὕδωρ δὲ ἓν τῶν δ' στοιχείων ἐστί.*—ε' (σ. 999). "Περὶ φωτὸς πυρὸς φωστήρων ἡλίου τε καὶ σελήνης καὶ ἄστρων κεφ. μα'." Ἀρχ. *Τὸ πῦρ ἐκ τῶν τεσσάρων στοιχείων ἐστί.*—ϛ' (σ. 1001). "Περὶ ἀέρος καὶ ἀνέμων κεφ. μβ'." Ἀρχ. *Ἀὴρ ἐστι στοιχεῖον λεπτότατον.*

38 (σ. 1002). "Εἰς τὴν ἀρχὴν τοῦ Μαρτίου μηνὸς προοίμιον."

Ἀρχ. Μάρτιος. *Οὗτος ἀρχὴ μηνῶν καὶ πρῶτος παρὰ τῷ θεσπεσίῳ διαγορεύεται Μωσεῖ.*

39 (σ. 1003). Ἀποσπάσματα λόγων ἕνδεκα

εἰς διαφόρους ἑορτὰς ἐν τῇ καθωμιλημένῃ.

α'. "Ἀπὸ τὸν λόγον τοῦ Εὐαγγελισμοῦ λόγος α^{ος}." Ἄρχ. *Συνήθειαν ἔχουσιν οἱ βασιλεῖς ὅταν μέλλουσι νὰ ὑπᾶσιν εἰς τὸν τόπον ὅπου βουληθῶσι.*

Ἐν τέλει· *Ἔτος ἀπὸ κτίσεως κόσμου ,ζογ' ἰνδ. η^{ης}, ἀπὸ δὲ Χριστοῦ ͵αφξε' μηνὸς Ἰουλίου (=1565) ἐτελειώθη.*

40 (σ. 1019). "Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Χρονικοῦ *βιβλίου ποιηθὲν παρὰ τοῦ σοφοτάτου κυροῦ* **Μιχαὴλ τοῦ Γλυκᾶ** *διεξιὸν ἀπὸ κτίσεως κόσμου συνοπτικὸν κατ' ἐπιτομὴν περί τε οὐρανοῦ καὶ γῆς περί τε τοῦ φωτὸς αὐτοῦ καὶ πάντων ἁπλῶς τῶν ὑπὸ Θεοῦ δημιουργηθέντων ἐν ἡμέραις ϛ' περί τε πλάσεως τοῦ Ἀδὰμ καὶ τῶν λοιπῶν καθεξῆς.*"

Προτάσσεται μὲν ὁ πρόλογος. Ἄρχ. *Βραχυσύλλαβον ἐγχαράττω σοι καὶ τοῦτο τὸ γράμμα.* Περιλαμβάνονται δὲ τὰ τῆς ἐξαημέρου ἐκ τοῦ Χρονικοῦ τοῦ Γλυκᾶ. Ἄρχ. *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.* Τέλ. *Ταῦτα μὲν οὖν εἰ καὶ παρεκβατικώτερον εἴρηται ἀλλὰ φιλομαθείας ἕνεκα πάντως τῆς σῆς ἐφέσει καὶ γὰρ ὡς ὁρᾷς τῇ σῇ χαριζόμενος καὶ φιλοπόνως ταῦτα συνέλεξα καὶ φιλοτίμως τῷδε διείληφα τῷ συντάγματι.*

Ἐκδ. Βόννης σ. 221, 4.

41 (σ. 1088). **Θεοδώρου Κυζίκου** Χρονικὸν ἀνεπίγραφον ἀπὸ Ἀδὰμ μέχρι Μιχαὴλ τοῦ Παλαιολόγου.

Ἄρχ. *Γεννᾷ τοίνυν ὁ Ἀδὰμ τὸν Κάϊν τὸν Ἄβελ καὶ τὸν Σήθ, θυγατέρας δὲ δύο καθά φησι Γεώργιος τὴν Ἀζουρὰμ ἣν ὁ Κάϊν ὡς γυναῖκα ἔλαβε καὶ τὴν Ἀσουὰμ ἣν ἔλαβεν ὁ Σήθ. Ὁ γὰρ Ἄβελ φονευθεὶς παρὰ τοῦ Κάϊν διὰ φθόνον ἀπῆλθε παρθένος. Ἐφθόνει δὲ τῷ Ἄβελ ὁ Κάϊν ὅτι προσέσχε ταῖς αὐτοῦ θυσίαις ὁ Θεὸς μᾶλλον ἢ ταῖς τοῦ Κάϊν.*

Πρβλ. **Μιχαὴλ Γλυκᾶν** Ἐκδ. Βόννης σ. 221, 6 κ. ἑ.

Μετὰ τὴν ἱστορίαν Ἰουδαίων καὶ Βαβυλωνίων βραχύτατα τὰ περὶ Περσῶν, μεθ' ἃ περὶ Ἀλεξάνδρου τοῦ μεγάλου, Μακεδόνων καὶ Πτολεμαίων. Ἔπειτα δ' ἕπεται ἡ ἱστορία τῶν Ῥωμαίων, ἀρχομένη διὰ τῶν ἑξῆς· *Ἐνταῦθα καλὸν τὴν ἱστορίαν ἀναποδίσαντα περὶ τῶν Ῥωμαίων διαλαβεῖν ὅθεν ἕλκουσι τὰς τοῦ γένους πηγάς· ἔχει δὲ οὕτως. Αἰνείας ὁ Φρὺξ μετὰ τὴν τῆς Τροίας ἅλωσιν φεύγων τὸν ὑπὸ τῶν Ἑλλήνων Φρυγίας βασιλέα Ἀντίνορα ἐξώρμησεν εἰς Ἰταλίαν πρὸς Λατῖνον τὸν Τηλέφου υἱόν.* Μετὰ δὲ τὴν ἱστορίαν τῶν Ῥωμαίων ἄρχεται ἡ τοῦ βυζαντιανοῦ κράτους καταλήγουσα εἰς τὰ περὶ Μιχαὴλ τοῦ Παλαιολόγου καὶ ἀνακτήσεως τῆς Κωνσταντινουπόλεως διὰ τῶν ἑξῆς· *καὶ ὁ βασιλεὺς εἰσῆλθεν εἰς τὸ ἀνάκτορον τὸ τῆς μεγάλης Σοφίας τέμενος ἵνα ἐγχειρίσῃ τὴν καθέδραν τῷ ἀρχιερεῖ καὶ συνήθροιστο μετὰ τοῦ βασιλέως καὶ τῶν ἐν τέλει πάντες καὶ τῶν ἀρχόντων οἱ πρόκριτοι καὶ πᾶσα πληθὺς καὶ ὁ βασιλεὺς τῆς χειρὸς τοῦ πατριάρχου ἐπιλαβόμενος ἔχεις φησὶ τὸν θρόνον σου δέσποτα καὶ οὗτινος ἐκ μακροῦ ἐστέρησαι καὶ τῆς καθέδρας ἀπόλαβε.*

Ἐν τέλει· *Γίνωσκε οὖν ἤρξατο ὁ Γεώργιος ἀπὸ καταβολῆς κόσμου ἕως τοῦ Μαξιμιανοῦ καὶ Μαξιμίνου τοῦ υἱοῦ αὐτοῦ. Μετὰ δὲ τὸν Γεώργιον ὁ ὁμολογητὴς Θεοφάνης ἕως τελευτῆς βασιλέως Νικηφόρου τοῦ ἀπὸ γενικῶν. Καὶ ἀπὸ Μιχαὴλ τοῦ Ῥαγγαβὲ τῆς χρονογραφίας ὁ Ἰωάννης ὁ Σκυλίτσης κατήρξατο ἕως τοῦ Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰωάννου τοῦ Πορφυρογεννήτου. Ἀπὸ δὲ τούτων τῶν βασιλέων ἤρξατο* **Θεόδωρος ὁ Κυζίκου** *ἄχρι Μιχαὴλ τοῦ Παλαιολόγου. Ἀπὸ καταβολῆς κόσμου ἦρξε καὶ οὗτος, οὐ μέντοι δὲ εἰς πλάτος ἔγραψεν. Ἀπὸ δὲ τούτων τῶν δύο βασιλέων ὡς εἴπωμεν ἔγραψεν οὗτος εἰς πλάτος, ἤγουν ὅσους δὲν ἔφθασαν ἐκεῖνοι γράψαι.*

Τὸ Χρονικὸν ἄρχεται μὲν ἐν σ. 1088 κατὰ τὰ εἰρημένα ἀνεπίγραφον διὰ τῶν ἀνωτέρω παρατεθέντων. Τὸ δὲ ὄνομα τοῦ συγγραφέως καὶ ἡ ἀληθὴς ἀρχὴ τοῦ Χρονικοῦ εὕρηνται κατωτέρω ἐν σ. 1221, ἔνθ' ἀναγινώσκονται ταῦτα· "Ἡ βίβλος ἥδε **Κυζίκου Θεοδώρου** σύνοψις χρονικὴ ἀπὸ Ἀδὰμ τὴν ἀρχὴν λαβοῦσα καὶ κατιοῦσα μέχρι καὶ τῶν κατὰ καιροὺς ἀρχόντων τῶν τε κριτῶν καὶ τῶν βασιλέων τῶν τε Περσῶν καὶ τῶν ἄλλων ἐθνῶν ἕως καὶ τῶν τῆς παλαιοτέρας Ῥώμης καισάρων καὶ τῶν τῆς νεωτέρας βασιλέων, δηλοποιοῦσα τίνες οὗτοι καὶ πόσον ἕκαστος χρόνον τὰ τῆς βασιλείας διῴκησε καὶ τίς καὶ τίνα ἔσχε διάδοχον."

Ἄρχ. *Ἀδὰμ μετὰ τὸ γενέσθαι ἐτῶν σλ' ἐγέννησε τὸν Κάϊν, τὸν Ἄβελ καὶ τὸν Σὴθ καὶ θυγατέρας δύο Ἀζουρὰμ καὶ Ἀσουὰμ, ἣν δὲ τούτῳ γυνὴ Εὖα.* Τέλ. *ἐπὶ τούτου προεφήτευον Ἀχιὰς ὁ Σιλωνίτης καὶ Σαμαίας καὶ Ἀδδὼ οἱ προφῆται.* Σημ(είωσις). *Γήρησε ὄπισθεν εἰς τὸν χρονογράφον καὶ εἰδὲς καὶ τὰ λοιπὰ τῆς χρονογραφίας.*

42 (σ. 1216). Βραχύτατα σημειώματα *περὶ τῶν μετὰ Μιχαὴλ τὸν Παλαιολόγον βασιλέων μέχρι Κωνσταντίνου.*

43 (σ. 1217). "Ἑτέρα χρονογραφία περὶ τῶν Τούρκων."

Ἄρχ. *Ἔτους ,ϛωνδ' ἐπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Δύσιν.* Τέλ. *ἔτους ,ζμζ' ἔτει Νοεμβρίῳ κα' ἔδωκαν οἱ Βενετίκοι τὸ Ἀνάπλη καὶ τὴν Μονεβασίαν τοὺς Τούρκους διὰ νὰ κάμουν ἀγάπην.*

44 (σ. 1218). "Περὶ τῶν παρ' αἱρετικῶν κεχειροτονημένων ἐκ τῶν ἐκκλησιαστικῶν ἱστοριῶν Συλλογὴ μερική."

Ἄρχ. *Ἄρειος ὁ τῆς μανίας ἐπώνυμος ἐξεκόπη τῶν πιστῶν καὶ καθῃρέθη δι' ἀποκαλύψεως παρὰ τοῦ ἁγίου μάρτυρος Πέτρου.*

Ἕπονται αἱ σ. 1221—1225 περὶ ὧν ἴδε ὑπ' ἀρ. 41.

45 (σ. 1225). "Ἐκ τοῦ Χρονικοῦ ἤτοι ἐκ τῆς βίβλου τῆς Παλαιᾶς."

Ἄρχ. "*Περὶ τοῦ Νῶε.*" *Αὗται δὲ αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ τῷ Θεῷ εὐηρέστησεν· ἐγέννησε δὲ Νῶε τρεῖς υἱούς.*

Ἔστι δὲ περίληψις τῆς Παλαιᾶς διαθήκης, ἐν ᾗ περιλαμβάνονται διηγήσεις ἐκ τῆς Γενέσεως, τῆς Ἐξόδου, τοῦ Λευιτικοῦ, τῶν Ἀριθμῶν, τοῦ Δευτερονομίου, τῶν Βασιλειῶν, τοῦ Ἔσδρα, τῆς Ἐσθήρ, τῆς Ἰουδὶθ, τοῦ Τωβὶτ, τῶν Δανιὴλ ὁράσεων καὶ τῶν Μακκαβαίων.

Ἐν ἀρχῇ τοῦ κώδικος ἡ ἑξῆς μακρὰ σημείωσις τοῦ βιβλιογράφου περί τε τούτου τοῦ κώδικος (πυκτὶς β') καὶ ἄλλου πρότερον ὑπ' αὐτοῦ γεγραμμένου (πυκτὶς α'),

Προοίμιον.

Τὴν δέλτον οὖν ταύτην, ὦ ἀδελφοί, ἐκ πολλῶν καὶ διαφόρων βιβλίων συνήθροισα καὶ συνήρμοσα εἰς μίαν βίβλον, τάχα γε εἰς ὠφέλειαν ἕνεκεν τῶν ἐντυγχανόντων αὐτήν, καθάπερ ἡ μέλιττα ἐκ πολλῶν

καὶ διαφόρων ἀνθέων τὴν γλυκύτητα τοῦ μέλιτος, εἰς κοινὴν ὠφέλειαν· τίς ὁ σκοπὸς τῆς ἐμῆς ἐννοίας τῆς συλλογῆς ταύτης; ἵνα γένηται ἐπιθυμιτὴ πάντων τῶν σπουδαίων, ἀλλὰ καὶ αὐτῶν σχεδὸν τῶν ῥαθύμων καὶ ἀμελῶν, διὰ τὴν συνάθροισιν τῶν πολλῶν βιβλίων· ὁρῶμεν γὰρ σήμερον πολλὰς ἱερὰς βίβλους καταπεφρονημένας καὶ ἠμελημένας· μᾶλλον δὲ καὶ ὑπὸ σκωλήκων βεβρωμένας· ἕνεκεν τούτου ἐδεδοίην κἀγὼ μήποτε φθαρῇ καὶ ἀχρειοθῇ ὑπὸ καταφρονήσεως, ἐσοφίσθην τὸν θεοφιλῆ σκοπὸν τοῦτον τῆς συλλογῆς ταύτης, καθάπερ τις ὀψοποιὸς ἄριστος ἐκ πολλῶν καρυκευμάτων εἰς ἑνὸς ὄψου ἡδονήν, ὡς καὶ τὸν ἄγαν ἀνόρεκτον εἰς ὄρεξιν ἑλκίσῃ τοῦ γεύματος τοῦ ὄψου· ἢ διάφορα βρώματα συσκευασάμενος τὸν ἀσθενῆ· καὶ ἐὰν οὐκ ἔχῃ ὄρεξιν εἰς τοῦ ἑνὸς ὄψου, ἵνα γεύηται τοῦ ἑτέρου· ἂν δὲ καὶ τούτου ἀηδίζεται, ἅπτηται τοῦ ἄλλου· πάντως ἀπὸ τῶν πολλῶν ἐκείνων ἐδεσμάτων ὀρέγεται τινὸς φαγεῖν· τὸν αὐτὸν δὲ τρόπον ἐσοφίσθην κἀγὼ τὸν ἔρανον τοῦτον τῆς συλλογῆς καὶ ὑπέμεινα τὸν τραχὺν καὶ πολὺν κόπον τοῦτον τοῦ καμάτου καὶ τοὺς πολλοὺς γογγισμοὺς τῶν ἀδελφῶν. Τίς ἡ αἰτία τοῦ γογγισμοῦ, ὃν ἐγόγγιζάν μοι οἱ ἀδελφοί; ἐγὼ ἐρῶ ὑμῖν· ὡς ἂν εὐκαίρουν κἂν ἀπὸ ταῖς ἔξω δουλίαις, κἂν ἀπὸ ταῖς ἔσω, εὐθὺς ἐπὶ τὸ γράφειν ἐκαθεζόμην προθύμως, τάχα γε, ἵνα τελειώσω ὧν ἦρξα· καὶ τούτου ἕνεκεν ἐγόγγιζάν μοι, ἵνα ἐβλέπω ταῖς δουλίαις τοῦ μοναστηρίου· καὶ τόσον οὐκ ἐλογιζόμην τὸν κόπον, ὅσον τὸν γογγισμὸν καὶ τὸν ὀνειδισμόν· ἐγὼ δὲ ἐκώφευα πρὸς τὴν λοιδορίαν αὐτῶν, διὰ τὸν ἐλπιζόμενον ἀπὸ Θεοῦ μισθόν· ἑώρουν γὰρ τὸν κόπον μου, ὅτι πνευματικὸς ἦτον, καὶ τὸ ἐργόχειρόν μου ὠφέλιμον μετα ταῦτα εἰς τοὺς μέλλοντας θεωρεῖν αὐτὸ μετὰ πίστεως, καὶ πᾶν ἔργον θεάρεστον οἶδα ἀληθῶς ὅτι φθονεῖται καὶ ἐμποδίζεται συνεργεία δαίμονος· δια τοῦτο οὖν οὐδὲ προσῆχον αὐτοῖς κἂν ἄκροις ὠσί, ἢ μόνον ἐργαζόμην καὶ ἔγραφον προθύμως. πολλάκις δὲ ἠμέλουν καὶ αὐτὴν τὴν ἀκολουθίαν μου, ἵνα ἴδω γλιχόμενος τὸ τέλος τοῦ βιβλίου καὶ ἐλευθεροθῶ τοῦ διπλοῦ κόπου, τοῦ καμάτου λέγω καὶ τῆς λοιδορίας· πιστεύσατέ μοι ἀδελφοί, ὅτι πλέον ἔγραφα τὴν νύκτα παροῦ τὴν ἡμέραν, διὰ τὴν αἰτίαν ταύτην· καὶ οὐχὶ μόνον εἰς τὴν παροῦσαν βίβλον ἦτον ὁ φθόνος ὁ δαιμονικὸς, ἀλλὰ καὶ εἰς τὴν ἑτέραν· ἔγραψα γὰρ καὶ ἕτερον πανθ' ἕκτην πρὶν νὰ μὲ ποιήσωσιν ἡγούμενον τὸ πρῶτον, ἤγουν ἁπλὸς παπᾶς, ἔχουσα οὖν ἐντὸς αὐτοῦ πᾶσαν ἀκολουθίαν, ὅσην χρειάζεται ὁλοχρονικῶς ὁ σπουδαῖος ἱερομόναχος· ὅμως ὁ φθονερὸς δαίμων οἴδατε πάντες σαφῶς, ὅτι ἀεὶ βασκαίνει τὰ καλὰ ἔργα καὶ θεάρεστα καὶ κινεῖ τοὺς ἀμελεῖς καὶ ἀπαιδεύτους καὶ καταφρονητὰς ἀνθρώπους πρὸς φθόνον καὶ ζῆλον, ἵνα σκανδαλίζωσι τοὺς ἀγονιζομένους πρὸς ἔργα ἀγαθὰ καὶ σωτήρια· δια τοῦτο τοιγαροῦν δέομαι ἡμῶν οἰκετικῶς τοὺς σπουδαίους λέγω καὶ φιλομαθεῖς, ὅσοι γινώσκετε τὸν κόπον καὶ τὸν πόνον τοῦτον τοῦ καμάτου· ὅσοι μέλλετε μετὰ ταῦτα λαβεῖν αὐτὴν ἐπὶ χεῖρας ἀναγινώσκειν, μέμνησθέ μου διὰ τὸν μικρὸν πόνον τοῦτον, καὶ μνείαν ποιήσατε πρὸς τὸν φιλάνθρωπον Θεὸν ὑπὲρ ἐμοῦ τοῦ οἰκτροῦ Κλήμεντος τάχα καὶ θύτου, ὅπως διὰ τῶν ἁγίων ὑμῶν εὐχῶν, συμπαθήσῃ τὰ πολλά μου ἁμαρτήματα καὶ ἀξιώσῃ με τῆς αὐτοῦ βασιλείας, εὐχαῖς καὶ πρεσβείαις τῆς ὑπεραγίας Θεοτόκου καὶ τοῦ τιμίου Προδρόμου καὶ πάντων τῶν ἁγίων, ἀμήν.

Πίναξ ἀκριβῆς τῆς παρούσης πικτῦδος.

Ἰδοὺ σὺν Θεῷ ἀπαριθμῶ τῆς αης βίβλου τὰς ἀκολουθίας· εἰς τὴν ἀρχὴν τίθημι πρῶτον ψαλτήριον, καὶ μετ' αὐτὸ ἡ ὀκτώηχος· εἶτα ἡ ἑβδομαδαρέα, καὶ μετ' αὐτὴν τὸ ἀνώνυμον Μηναῖον, ἤγουν ἀκολουθίαι ὡς ἁρμόζει ἑνὶ ἑκάστῳ ἁγίῳ· ἔπειτα, αἱ δεσποτικαὶ ἑορταὶ καὶ τῶν μεγάλων ἁγίων ὅσοι ἔχουν δοξολογίαν· εἶτα τὸ τριώδιον καὶ τὸ πεντηκοστάριον, μετὰ τούτων τὸ μηνολόγιον ἀρχόμενον ἀπὸ μηνὸς Σεπτεβρίου μέχρι μηνὸς Αὐγούστου τυπικομένον· εἰς τὸ τέλος αὐτοῦ τὰ συνάγματα Μάρκου μοναχοῦ εἰς τὰ ἀπορούμενα τοῦ τυπικοῦ· εἶτα τὸ εὐχολόγιον σῶον, ὅσα χρειάζεται ὁ πνευματικὸς πατὴρ καὶ τὸ νομοκάνονον πάνυ ὡραῖον καὶ δύο βαθμολόγια. Ταῦτα τὰ βιβλία ἔχει ἡ πρώτη βίβλος.

Πίναξ ἀκριβῆς τῆς βας πικτῦδος.

Ἰδοὺ Θεοῦ θέλοντος σύντάττω καὶ τὸν πίνακα καὶ τὴν ἁρμογὴν τοῦ δευτέρου βιβλίου καὶ ἀπαριθμῶ μιᾶς ἑκάστης πικτῦδος, τὸ ὄνομα αὐτῆς καὶ τὸν τόπον· πρῶτον καὶ κατ' ἀρχὴν τίθημι τὴν βίβλον τοῦ κῦρ Συμεὼν Θεσσαλονίκης, εἶτα μετ' αὐτὴν τὸ νομοκάνονον σῶον ὅσα χρειάζεται ὁ πνευματικὸς πατὴρ εἰς διόρθωσιν ψυχὰς ἀνθρώπων καὶ τὸ βαθμολόγιον, καὶ ἄλλα τινὰ συνάγματα ἀπὸ τὸ μέγα νομοκάνονον· μετὰ τούτων τὴν βίβλον Ἀναστασίου τοῦ Σιναΐτου· εἶτα τοῦ Ἀντιόχου τὴν βίβλον καὶ εἰς τὸ τέλος αὐτῶν, τὰ ἀποφθέγματα, τὸ πατερικόν, ἤτοι τὸ γεροντικὸν, καὶ εἰς τὸ τέλος αὐτοῦ τοῦ ἀββᾶ Νείλου περὶ τῶν ὀκτὼ λογισμῶν τῆς κακίας καὶ ἄλλα τινὰ τοῦ αὐτοῦ· μετ' αὐτῶν τὴν ἐξήγησιν τοῦ Εὐαγγελίου καὶ τῶν ιδ'. ἐπιστολῶν τοῦ Παύλου· εἶτα τὸ ἐλεξικὸν πλούσιον ἀπὸ πολλῶν βιβλίων συνειλεγμένον, καὶ εἰς τὸ τέλος αὐτοῦ τοὺς τρεῖς ἰαμβικοὺς κανόνας· ἔπιτα τὴν βίβλον τῆς δογματικῆς πανοπλίας καὶ εἰς τὸ τέλος αὐτῆς, οἱ ἑπτὰ σύνοδες, καὶ ἄλλα πολλὰ κεφάλαια περὶ πίστεως καὶ περὶ θεολογίας χρειαζόμενα, εἶτα Πέτρου διακόνου τῆς μεγάλης ἐκκλησίας, ἀστρονομία σύντομος, καὶ εἰς τὸ τέλος αὐτῆς, οἱ ιβ'. μῆνες δὶς καὶ τρὶς γεγραμμένοι, περὶ ἄλλης αἰτίας, ἀλλὰ καὶ περὶ ἰατρείας, καὶ ἄλλα τινὰ κεφάλαια χρειαζόμενα τοῦ Βλυμίδους καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ· μετὰ τούτων ἡ ἑξαήμερος Μιχαὴλ τοῦ Γλυκᾶ, καὶ μετ' αὐτὴν ὁ χρονογράφος σῶος, ἀπὸ Ἀδὰμ ἀρχόμενος μετὰ τὸ ἐκβληθῆναι τοῦ παραδείσου, μέχρι βασιλείας Κωνσταντίνου τοῦ Παλαιολόγου· ἐπὶ τούτου τοῦ Κωνσταντίνου ἑάλω ἡ Κωνσταντινούπολις ὑπὸ τῶν Τούρκων. Τέλος πάντων τίθεται ἡ βίβλος τοῦ Μωσέως, ἤτοι ὁ παλαιὸς νόμος, καὶ καθεξῆς αἱ βίβλοι αὗται· τοῦ Ἰώβ, τοῦ Ἔσδρα, τῆς Αἰσθὴρ, τῆς Ἰουδὴθ, τοῦ Τωβὶτ, τοῦ Δανιὴλ καὶ τῶν Μακαβαίων.

Καὶ τὴν μὲν πρώτην βίβλον τὴν ἔχουσαν τὰς ἀκολουθίας τῆς προσευχῆς, ἤγουν τὸν πρῶτον πάνθ' ἕκτην, ἔγραψα αὐτὸν πρὶν νὰ με ποιήσωσιν ἡγούμενον τὸ πρῶτον, τουτέστιν ἁπλῶς ἱερομόναχος· ἐποίησαν δέ με ἡγούμενον τὸ πρῶτον ἐν τῷ ͵ζνα' ἔτει, πάνυ τῇ ἡλικίᾳ νέον, ἐν μηνὶ Νοεμβρίῳ εἰς τὰς κϛ' (=1542).

Ἔγραψα δὲ μετὰ τὴν ἀποχὴν τοῦ πρώτου μου ἡγουμενείου καὶ τὴν δευτέραν βίβλον, ἤτοι τὸν δεύτερον πανθ' ἕκτην, ὅν καὶ ἐπὶ χεῖρας κρατοῦμεν, καὶ ἐστάχοσα αὐτὸν τὸ πρῶτον στάχομα ἐν τῷ ζξ^ῳ ἔτει (=1552)· εἶτα ἐποίησάν με πάλιν ἡγούμενον δεύτερον ἐν τῷ ,ζξζ^ῳ ἔτει Σεπτεμβρίου εἰς τὰς η'· ἐν τούτῳ τῷ ἔτει τῷ ζξη^ῳ (=1560) ἐστάχοσα πάλιν δεύτερον τὴν παροῦσαν βίβλον, ἤτοι, τὸν παρόντα πανθ' ἕκτην, μὴ ἀρέσαντός μου τοῦ πρώτου σταχόματος· ἡγουμενεύοντος δέ μου δευτέρου χρόνου· τίς ἡ αἰτία τῆς σημειώσεως ταύτης, ἵνα γινώσκῃ τις τοὺς πεπερασμένους χρόνους, πόσοι ἐπεπεράκασι ἀπὸ τὴν μίαν ὑπόθεσιν ἕως τὴν ἄλλην, διὰ τὴν φιλονεικίαν. Τέλος πάντων καὶ τῷ Θεῷ δόξα τῷ δόντι τὸ τέλος.

Ὁ κῶδιξ γέγραπται ἐναλλὰξ ὁτὲ μὲν κατὰ δύο σελίδας, ὁτὲ δὲ κατὰ μίαν καὶ μόνην.

3759. 225. Χαρτ. 8. XVII.

1. **Συμεὼν Θεσσαλονίκης**

α'. Θεολογικαὶ πραγματεῖαι. Ἀρχ. (ἀκέφ.)...**ἑαυτῷ διὰ τῆς ἐκκλησίας εἰργάσατο ἐν ἁγίῳ πνεύματι.** Ὅρα καὶ ὅπως τὸν γάμον ὡς δημιουργὸς συνεστήσατο καὶ εὐλόγησεν. Ἕπονται τούτοις τοῖς περὶ γάμου καὶ παρθενίας κεφάλαια "Περὶ μετανοίας καὶ ἐξαγορεύσεως," "Περὶ τοῦ σχήματος πῶς ὁ σωτὴρ δι' ἑαυτοῦ ἔδειξεν," "Διατὶ ἔλαιον ἐν τῷ ἁγίῳ καὶ μεγάλῳ μύρῳ καὶ ἔλαιον ἐν τῷ εὐχελαίῳ."—β'. "Ἑρμηνεία...περὶ τοῦ θείου ναοῦ καὶ τῶν ἐν αὐτῷ ἱερέων καὶ διακόνων..."—γ'. "Περὶ τοῦ ἱεροσολυμιτικοῦ τυπικοῦ."—δ'. "Περὶ τοῦ τέλους καὶ τῆς ἱερᾶς τάξεως τῆς κηδίας..."—ε'. "Περιεκτικὰ ὡς δυνατὸν τῆς μόνης... πίστεως..."—ϛ'. "Ἀποκρίσεις πρὸς ἐρωτήσεις...Γαβριήλ." πε'.

Ἐν τέλει· Τέλος τοῦ κῦρ Συμεὼν ,ζρξγ' (=1655).

Ἴδ. 3758 (224), 4.

2. **Ἀναστασίου τοῦ Σιναΐτου** Ἀποκρίσεις...ρμγ'.

Ἐν τέλει· Τέλος ἔλαβον αἱ ἐρωταποκρίσεις παρ' ἐμοῦ Ἀντωνίου ταπεινοῦ ῥακενδύτου ἔτους ,ζρξγ' (=1655).

Ἴδ. 3756 (224), 8.

3. "Ἐπιστολὴ **Ἀντιόχου μοναχοῦ**...πρὸς Εὐστάθιον ...Ἀτταλικῆς πόλεως..." Κεφ. ρλ'.

Ἴδ. 3758 (224), 9.

4. "Ἀποφθέγματα ἐκ διαφόρων βιβλίων ἐκ τοῦ Εὐαγγελίου..."

Κεφ. ογ', ὧν α' Περὶ ἀρετῆς καὶ κακίας...—ογ' Περὶ καταλαλιᾶς.

Ἴδ. 3758 (224), 10.

5. "Περὶ τῶν ὀκτὼ λογισμῶν

ἐκ τῆς ἑρμηνείας τῆς Κλίμακος [**Ἰωάννου τοῦ Σχολαστικοῦ**]" καὶ "Τοῦ **ὁσίου** πατρὸς ἡμῶν **Νείλου** περὶ τῶν ὀκτὼ λογισμῶν."

Ἴδ. 3758 (224), 15.

6. "Τοῦ **αὐτοῦ ἀββᾶ Νείλου**

Ἐπειδὴ ὁ ἄνθρωπος ἐκ ψυχῆς ὑπάρχων καὶ σώματος δυσὶ σαλεύεται νόμοις σαρκὸς λέγω καὶ πνεύματος καὶ ὁ μὲν τῆς σαρκὸς νόμος κατὰ τὴν αἴσθησιν, ὁ δὲ τοῦ πνεύματος κατὰ τὸν νοῦν κέκτηται τὴν ἐνέργειαν."

Ἀρχ. Ἰστέον ὅτι διπλοῦς ὢν ὁ ἄνθρωπος.

7. "Περὶ ἐξαγορεύσεως **Σωφρονίου Ἱεροσολύμων**" (κολ.).

Ἴδ. 3758 (224), 5.

Ὁ κῶδιξ ἀντίγραφον τοῦ ὑπ' ἀρ. 3758 (224) κατ' ἐκλογήν.

3760. 226. Χαρτ. 8. XVI.

1. Ψαλτήριον.

Μετὰ παρασελιδίων σχολίων. Τὰ σχόλια ἄρχ. Οὐκ ἀπέκλεισε τοῦ μακαρισμοῦ τὰς γυναῖκας ἀλλ' ἐκ τοῦ ἡγεμονικωτέρου τὸ ὅλον ἐδήλωσεν. Λοιμοὶ δὲ οἱ καὶ ἄλλοις τῆς κακίας μεταδιδόντες.—Καρπὸν τοῦ ξύλου νοήσῃς τὴν ὀρθὴν πίστιν, φύλλα δὲ αὐτοῦ τὴν πλήρωσιν τῶν ἐντολῶν.—Φρίαγμα ἐστὶν ὁ ἐξ αγερωχίας καὶ θρασύτητος ἐγγινομένης τοῖς ἵπποις χρεμετισμός.

Προτάσσεται μὲν Εἰσαγωγὴ ἀνεπίγραφος εἰς τὸ Ψαλτήριον. Ἀρχ. Αὕτη ἡ βίβλος ὦ φιλόλογε τὸ Ψαλτήριον πεντάτευχος καλεῖται· διῆλον γὰρ αὐτὸ εἰς πέντε βιβλία οἱ τῶν Αἰβραίων διδάσκαλοι ὥστε εἶναι καὶ αὐτὸ ἄλλην πεντάτευχον. Ἕπονται δ' Εὐχαί τινες καὶ "Καθίσματα κατανυκτικὰ καὶ εὐχαὶ λεγόμεναι εἰς τὰ καθίσματα τοῦ Ψαλτῆρος," ἐν οἷς καὶ α' "**Θεοφίλου οἰκουμενικοῦ πατριάρχου** Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον," β' "Εὐχὴ **Παύλου μοναχοῦ** μονῆς τῆς ὑπεραγίας Θεοτόκου **τῆς Εὐεργέτιδος**," γ' "**Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ** Εὐχὴ περιεκτικὴ εἰς τὴν ζωοποιὸν Τριάδα."

2. "Μηνολόγιον σὺν Θεῷ ἁγίῳ ὅλου τοῦ ἐνιαυτοῦ."

3. "Περὶ τῶν ἑπτὰ ἡλικιῶν τοῦ ἀνθρώπου."

4. "Περὶ ἀγάπης, τοῦ μεγάλου φωστῆρος **Χρυσοστόμου.**"

Ἀπόσπασμα. Ἀρχ. Εἰπὲ δή μοι τί σοι δοκῶ μεῖζον εἶναι χάρισμα διδασκαλίας.

5. "Κατὰ τοῦ ,ϛ^ῳ ὀκτακοσιαστοῦ ἔτους

βασιλείας Ἀνδρονίκου. Ἐκ τοῦ σιγιλλιώδους γράμματος **Νίφωνος** ἀρχιεπισκόπου Νέας Ῥώμης καὶ **οἰκουμενικοῦ πατριάρχου** ἐν τῷ Προτάτῳ τοῦ ἁγίου Ὅρους."

Ἀναφέρεται εἰς τὰ προνόμια τοῦ Ἁγίου Ὅρους. Ἀρχ. Ὥσπερ δ' οὐκ ἀρκεσθέντες τοῖς οὕτω λαμπρῶς πονηθεῖσι καὶ φιλοτιμηθεῖσιν οἱ θειότατοι τῶν βασιλέων ἐκεῖνοι ἀλλ' ἀδέσποτόν τι χρῆμα τὴν ἀρετὴν εἰδότες, κἀκεῖσε διαμένειν ἀδέσποτον μάλιστα δικαιοῦντες, ὑπ' ἐλευθερίαν πᾶσαν ἀνῆκαν τὰ κατ' αὐτό. Τέλ. πολλῷ γὰρ βέλτιον τὸ τῶν κανόνων δίκαιον καὶ χρόνων ἰσχύειν καὶ παντὸς ἄλλου ἢ χρόνου δίκαια τῶν ἱερῶν νικᾶν κατεπαιρόμενα καὶ κατακαυχώμενα. Κατὰ τοῦ ,ϛω^δ ἔτους. **Νίφων** ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ **οἰκουμενικὸς πατριάρχης.**

6. "**Ἀντώνιος** ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος

Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ **οἰκουμενικὸς πατριάρχης.**"

Σιγίλλιον ἀναφερόμενον εἰς τὰ προνόμια τοῦ ἁγίου Ὅρους. Ἀρχ. Ἐπεὶ ὁ ὁσιώτατος πρῶτος τῶν κατὰ τὸ Ἅγιον Ὅρος τὸν Ἄθω ἁγίων καὶ σεβασμίων μονῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος ἱερομόναχος κῦρ Νεόφυτος ἐκλεγεὶς παρὰ τῶν ἐνασκουμένων τῷ Ἁγίῳ ὄρει τιμιωτάτων ἱερομονάχων καὶ μοναχῶν ὡς ἔθος εἰς πρῶτον, εἶτα ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα. Τέλ. Τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος κατὰ μῆνα Μάρτιον τῆς τέσσαρες καὶ δεκάτης ἰνδικτιῶνος τοῦ ,ϛω^δ ἐννενηκοστοῦ ἐνάτου ἔτους. **Ἀντώνιος** ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ **οἰκουμενικὸς πατριάρχης.**

7. "Ἐκ τῶν κεφαλαίων **τοῦ μεγάλου Βασιλείου** τῶν Ἀσκητικῶν."

8. Κανόνες τινὲς τῶν **Ἀποστόλων** καὶ **συνόδων** μετὰ ἑρμηνείας.

9. "Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν **Μαξίμου τοῦ ὁμολογητοῦ** Παράδωσις ἀναγγαῖα πᾶσι τοῖς ὀρθοδόξοις Χριστιανοῖς."

Ἀρχ. Πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα ἄναρχον παντελῶς καὶ ἀΐδιον.

10. "**Τοῦ αὐτοῦ** Καὶ περὶ τῆς ἐνσάρκου ὁμολογίας."

3761. 227. Χαρτ. 8. XV. (φ. 284).

"**Μητροφάνους μητροπολίτου Σμύρνης** Ἑρμηνεία εἰς τὰς καθολικὰς ἐπιστολὰς τῶν ἁγίων **Ἀποστόλων**."

α′ Εἰς τὴν τοῦ **Ἰακώβου** καθολικὴν ἐπιστολήν. (φ. 1 α). Ἀρχ. Τῶν πνευματικῶν καὶ νοερῶν νεφελῶν ὁ θεῖος καὶ οὐράνιος ὑετὸς γεννᾶται μὲν αὐταῖς καὶ χορηγεῖται σαφῶς ἀπὸ τῆς ἀνωτάτω πάντων καὶ ἀεννάου πηγῆς. Τέλ. καὶ τὰς μακαρίας ἐπαγγελίας εὑρήσομεν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—β′ (φ. 24 α). "**Τοῦ αὐτοῦ** Λόγος δεύτερος." Ἀρχ. Γίνεσθε δὲ ποιηταὶ νόμου καὶ μὴ μόνον ἀκροαταί. Τέλ. ἵνα δοξάζῃς τὸν ἐπὶ πάντων Θεὸν καὶ βασιλέα τῆς δόξης μετὰ τῶν ἁγίων ἀγγέλων ἀκαταλήκτως ὅτι αὐτῷ πρέπει δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—γ′ (φ. 41 α). "**Τοῦ αὐτοῦ** Λόγος γ^ος^." Ἀρχ. Οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖται ὡς διὰ νόμον ἐλευθερίας μέλλοντες κρίνεσθαι. Τέλ. καὶ δοξάζομεν αὐτὸν ἀκαταλήκτως ὡς βασιλέα τῆς δόξης ὅτι αὐτῷ πρέπει δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—δ′ (φ. 52 β). "**Τοῦ αὐτοῦ** λόγος δ^ος^." Ἀρχ. Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν. Τέλ. ἵνα μὴ παραρρυῆς τῆς τῶν οὐρανῶν βασιλείας ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ε′ (φ. 66 α). "**Τοῦ αὐτοῦ** Λόγος πέμπτος." Ἀρχ. Ἄγε νῦν οἱ λέγοντες σήμερον καὶ αὔριον πορευσώμεθα εἰς τήνδε τὴν πόλιν. Τέλ. ἵνα καὶ τὰς ἐντεῦθεν λάβοιμεν ἀμοιβὰς καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῶμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν. Τέλος τοῦ ε^ου^ λόγου τοῦ εἰς τὴν τοῦ **Ἰακώβου** καθολικὴν ἐπιστολήν.—ϛ′ (φ. 83 β). "**Τοῦ αὐτοῦ Μητροφάνους μητροπολίτου Σμύρνης** Ἑρμηνεία εἰς τὴν τοῦ **Πέτρου** καθολικὴν ἐπιστολὴν λόγος α^ος^." Ἀρχ. Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ ἐκλεκτοῖς παρεπιδήμοις. Τέλ. εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν καὶ καταξιωθῶμεν καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ζ′ (φ. 96 α). "**Τοῦ αὐτοῦ** Λόγος δεύτερος." Ἀρχ. Διότι πᾶσα σὰρξ ὡς χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Τέλ. εἶτα φησὶν καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε καὶ διὰ τὰς ἁμαρτίας αὐτοῦ παρεδόθη. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.—η′ (φ. 110 β). "**Τοῦ αὐτοῦ** Λόγος τρίτος." Ἀρχ. Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα, ἀλλ' ἐπιστράφητε νῦν ἐπὶ τὸν ποιμένα. Τέλ. καὶ τὴν ἄρρητον ἀγαλλίασιν ἔχοντα καὶ μακαριωτάτην ἀπάθειαν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—θ′ (φ. 126 α). "**Τοῦ αὐτοῦ** Λόγος τέταρτος." Ἀρχ. Ἕτοιμοι δὲ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι. Τέλ. καὶ τὸν ἴδιον νυμφίον Χριστὸν γεραίρει ταῖς χαριστηρίοις φωναῖς ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοῖς αἰῶνας τῶν αἰώνων ἀμήν.—ι′ (φ. 135 α). "**Τοῦ αὐτοῦ** Λόγος πέμπτος." Ἀρχ. Ἀγαπητοὶ μὴ ξενίζησθε τῇ ἐν ὑμῖν πυρώσει. Τέλ. ἵνα καὶ πρὸς αὐτὸν καὶ πρὸς ἀλλήλους χριστοφιλῶς εἰρηνεύοντες εὑρεθῶμεν τὴν εἰρήνην καὶ τὸν ἁγιασμὸν κατορθοῦντες ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ια′ (φ. 157 α). "**Τοῦ αὐτοῦ Μητροφάνους μητροπολίτου Σμύρνης** Ἐξήγησις τῆς **Πέτρου** δευτέρας καθολικῆς ἐπιστολῆς." Ἀρχ. Σίμων Πέτρος δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν. Τέλ. καντεῦθεν ἀξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιβ′ (φ. 168 α). "**Τοῦ αὐτοῦ** Λόγος δεύτερος τῆς **Πέτρου** δευτέρας καθολικῆς." Ἀρχ. Τοῦτο πρῶτον γινώσκοντες ὅτι πᾶσα προφητεία γραφῆς ἰδίας ἐπίλυσις οὐ γίνεται. Τέλ. μᾶλλον δὲ τοῖς πᾶσιν ὀσμὴ ζωῆς πρὸς ζωὴν εὐωδιάζουσα τὴν αἰώνιον καὶ καταξιωθῶμεν δὲ κατὰ τὸν μέλλοντα βίον τῆς τῶν οὐρανῶν βασιλείας ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν. Τέλος τοῦ δευτέρου λόγου τῆς **Πέτρου** δευτέρας καθολικῆς ἐπιστολῆς.—ιγ′ (φ. 178 α). "**Τοῦ αὐτοῦ** Λόγος τρίτος τῆς **Πέτρου** δευτέρας καθολικῆς ἐπιστολῆς." Ἀρχ. Ταύτην ἤδη ἀγαπητοὶ δευτέραν γράφω ὑμῖν ἐπιστολήν. Τέλ. ἐξ ὅλης ψυχῆς καὶ διαθέσεως καὶ καρδίας φαμὲν αὐτῷ Χριστῷ δόξα καὶ κράτος καὶ μεγαλοσύνη καὶ ὕμνος ἀσίγητος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιδ′ (φ. 194 α). "**Τοῦ αὐτοῦ Μητροφάνους μητροπολίτου Σμύρνης** Ἑρμηνεία τῆς **Ἰωάννου** καθολικῆς πρώτης ἐπιστολῆς." Ἀρχ. Ὃ ἦν ἀπ' ἀρχῆς ὃ ἀκηκόαμεν ὃ ἑωράκαμεν τοῖς

ὀφθαλμοῖς ἡμῶν. Τέλ. ἵνα καὶ μετὰ τῶν δικαίων ἐκλάμψωμεν ὡς ὁ ἥλιος καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῶμεν ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιε' (φ. 211 α). "Τοῦ **αὐτοῦ** Λόγος δεύτερος τῆς **Ἰωάννου** πρώτης καθολικῆς ἐπιστολῆς." Ἀρχ. Γράφω ὑμῖν τεκνία μου ὅτι ἀφέονται ὑμῶν αἱ ἁμαρτίαι. Τέλ. καὶ μένοντα δὲ τὸν Χριστὸν ἐν ἑαυτοῖς ἔχειν ἵνα καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιϛ' (φ. 226 β). "Τοῦ **αὐτοῦ** Λόγος τρίτος τῆς **Ἰωάννου** πρώτης ἐπιστολῆς." Ἀρχ. Τεκνία μηδεὶς πλανάτω ὑμᾶς. Ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιος ἐστί. Τέλ. ἵνα καὶ μένοντες ἐν αὐτῷ καὶ μένοντα δὲ τὸν Θεὸν ἔχοντες ἐν ἑαυτοῖς ἀκολούθως καταληφθείημεν καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιζ' (φ. 235 α). "**Τοῦ αὐτοῦ** Λόγος τέταρτος τῆς **Ἰωάννου** πρώτης ἐπιστολῆς." Ἀρχ. Ἀγαπητοὶ μὴ παντὶ πνεύματι πιστεύητε. Τέλ. καὶ τὸν Θεὸν εἰλικρινῶς καὶ τοὺς ἀδελφοὺς ὡς ἑαυτοὺς ἀγαπῶντας τὴν ἀμφοτέρωθεν εὔκλειαν ἀπενέγκασθαι καὶ κληρονομῆσαι τὴν τῶν οὐρανῶν βασιλείαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.—ιη' (φ. 246 α). "**Τοῦ αὐτοῦ** Λόγος πέμπτος τῆς **Ἰωάννου** πρώτης καθολικῆς ἐπιστολῆς." Ἀρχ. Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἐκ τοῦ Θεοῦ γεγένηται. Τέλ. ἵνα ποιήσῃ τοὺς γονεῖς οὐρανίους καὶ τοὺς ἀποίκους τῆς Ἐδὲμ κληρονόμους ἀποφήνῃ τῆς τῶν οὐρανῶν βασιλείας ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι τοὺς εἰς αὐτὸν ἠλπικότας ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιθ' (φ. 258 β). "**Τοῦ αὐτοῦ** Ἑρμηνεία τῆς **Ἰωάννου** δευτέρας ἐπιστολῆς." Ἀρχ. Παράλληλος τῇ προτέρᾳ καὶ τῆς δευτέρας ἐπιστολῆς ἔοικε προδήλως ὁ χαρακτήρ. Τέλ. καὶ συνημμένοι διὰ πίστεως εἰλικρινοῦς καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης καὶ ζωῆς οὐρανόφρονος ἵνα καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ καὶ ἀγαθῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—κ' (φ. 271 α). "**Τοῦ αὐτοῦ** Ἑρμηνεία τῆς **Ἰούδα** τοῦ ἀποστόλου ἐπιστολῆς." Ἀρχ. Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου τοῖς ἐν Θεῷ πατρὶ ἡγιασμένοις. Τέλ. δηλονότι τοῦ δι' ἡμᾶς καθὼς ἡμᾶς γεγονότος καὶ πεφυκότος ἀνθρώπου καὶ σώσαντος τῶν ἀνθρώπων τὸ γένος διὰ φιλανθρωπίαν ἀνείκαστον. Ὧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.

Ἐν τέλει χειρὶ νεωτέρᾳ· Ἀφιερώθη καὶ τοῦτο ὡς καὶ τὰ λοιπὰ ὑπ' ἐμοῦ Μαξίμου ἁμαρτωλοῦ μοναχοῦ ὡς καὶ τὰ λοιπὰ ἐν τῇ ἁγίᾳ μονῇ τοῦ κῦρ Διονυσίου εἰς τὸ Ἅγιον Ὄρος διὰ μνημόσυνον τοῦ ἐμοῦ φιλτάτου πατρὸς ὁ δὲ τολμήσας συλλῆσαι ἐχέτω τὰς ἀρὰς τῶν ἁγίων πατέρων.

3762. 228. Χαρτ. 8. XV. (φ. 434).

Βίοι καὶ μαρτύρια ἁγίων καὶ Λόγοι πανηγυρικοὶ εἰς ἑορτάς.

α' (φ. 9 α). **Ἰωάννου τοῦ Χρυσοστόμου** Λόγος εἰς τὸν ἀπόστολον Θωμᾶν (;). Ἀρχ. (ἀκέφ.)...πασαν τὴν ὑπὲρ αὐτοῦ σπουδὴν ἀπέλεγξας. Τί οὖν ἀπιστότερον εἰπέτε μοι τῆς ζωῆς; Τέλ. καὶ τεθνήξεται τῷ λιμῷ τὸν διηνεκῆ δηλονότι καὶ ἀτελεύτητον θάνατον· οὗ γένοιτο πάντας ἡμᾶς ἀφάτοις οἰκτιρμοῖς ῥυσθέντας Θεοῦ τῆς ἀτελευτήτου καὶ μακαρίας ζωῆς ἐκείνης ἐπιτυχεῖν ἣ τοῖς τὸν Θεὸν γνησίως ἠγαπηκόσιν ἐπήγγελται ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ πᾶσα δόξα πρέπει σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.—β' (φ. 15 α). "Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ ὑπερτίμου μητροπολίτου κυροῦ **Νείλου Ῥόδου** Ἐγκώμιον εἰς τὴν ὁσίαν Ματρώναν τὴν ἐν τῇ νήσῳ Χίῳ." Ἀρχ. Οὐ ξένα τὰ τῆς παρούσης ἡμῖν πανηγύρεως.—γ' (φ. 36 β). "Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ **Δημητρίου τοῦ Χρυσολωρᾶ** Ἐγκώμιον εἰς τὴν πάνσεπτον ἀνάστασιν τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ." Ἀρχ. Χριστὸς ἐκ νεκρῶν· εὐφραινέσθωσαν οἱ τῶν οὐρανῶν ἄρχοντες τὴν ἀλλοίωσιν ἁπλῶς οὐκ ἔτι φοβούμενοι.—δ' (φ. 40 α). "Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ **Νικολάου τοῦ Καβάσιλα** Λόγος εἰς τὰ σωτήρια καὶ ζωοποιὰ πάθη τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ." Ἀρχ. Ἄκουε οὐρανὲ καὶ ὁ τῶν ἀγγέλων ἅπας κύκλος.—ε' (φ. 53 β). "**Κοσμᾶ βεστήτορος** Λόγος ἐγκωμιαστικὸς εἰς τὸν προφήτην καὶ ἀρχιερέα Ζαχαρίαν." Ἀρχ. Μύστα τῶν ἀρρήτων ἱερουργημάτων Ζαχαρία.—ϛ' (φ. 56 α). "**Σισινίου** ἀρχιεπισκόπου **Κωνσταντινουπόλεως** Λόγος εἰς τὸ ἐν Χώναις γεγονὸς θαῦμα τοῦ ἀρχιστρατήγου Μιχαήλ." Ἀρχ. Θαυμάσια τὰ ἔργα σου Κύριε ὁ μεγαλοφωνότατος προφήτης Δαυῒδ καὶ θεοπάτωρ μελῳδῶν ἀνεκήρυξε.—ζ' (φ. 63 β). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν σύλληψιν τοῦ Προδρόμου. Ἀρχ. Εὔκαιρος ἡμέρα.—η' (φ. 70 α). "**Νικηφόρου** μοναχοῦ καὶ πρεσβυτέρου **τοῦ Βλεμμύδους** Λόγος ἐγκωμιαστικὸς εἰς τὸν ἅγιον ἀπόστολον τοῦ Χριστοῦ καὶ εὐαγγελιστὴν Ἰωάννην τὸν Θεολόγον. Ἀρχ. Εὐαγγελιστῇ θεολόγῳ προσήκοι ἂν αἶνος εὐαγγελικός."—θ' (φ. 82 β). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν ἅγιον ἀπόστολον Θωμᾶν. Ἀρχ. Τῷ μὲν νόμῳ τῆς ἐκκλησίας πειθόμενος.—ι' (φ. 85 α). "**Λέοντος** ἐν Χριστῷ βασιλεῖ αἰωνίῳ **βασιλέως** Ἐγκώμιον εἰς τὸν ἐν μάρτυσι περιβόητον μάρτυρα καὶ θεῖον Δημήτριον." Ἀρχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.—ια' (φ. 92 β). "Ἐγκώμιον εἰς τοὺς ἁγίους ἐνδόξους πανευκλεεῖς καὶ θείους Ἀναργύρους Κοσμᾶν καὶ Δαμιανόν." Ἀρχ. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου

κύριε τῶν δυνάμεων.—ιβʹ (φ. 100 α). "Τοῦ *ἁγιωτάτου* **Μιχαὴλ συγγέλλου καὶ ὁμολογητοῦ** *Ἐγκώμιον εἰς τοὺς ἁγίους τοῦ Θεοῦ ἀρχαγγέλους καὶ πάσας τὰς ἐπουρανίους δυνάμεις.*" Ἀρχ. Τὸν *μὲν λόγον ἡ προθυμία κινεῖ, τὴν χεῖρα συστέλλει τὸ δέος.*—ιγʹ (φ. 119 β). "**Κοσμᾶ βεστήτορος** Ἐγκώμιον *εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν καὶ διαπρύσιον τῆς οἰκουμένης διδάσκαλον* Ἰωάννην *τὸν* Χρυσόστομον." Ἀρχ. *Ὃν τρόπον τοῖς φιλοχρύσοις ἀνθρώποις αἱ ὀρυγαὶ τῶν κεχωσμένων θησαυρῶν ἐπιθυμητῶς ἐνεργοῦνται.*—ιδʹ (φ. 123 β). "*Εἰς τὸν ἐν θαύμασι περιβόητον μυροβλήτην καὶ θαυματουργὸν* Νικόλαον Στίχοι *τοῦ λογιωτάτου κῦρ* **Φιλῆ**." Ἀρχ.

Τῷ Νικολάῳ *τὸν προκείμενον λόγον*
ἐρεύγεται μὲν ὁ στεφηφόρος **Λέων**.

Γέγραπται *δὲ καταλογάδην ἐν τῷ κώδικι.*—ιεʹ (φ. 124 α). **Ἀνδρέου** Κρήτης Ἐγκώμιον *εἰς τὸν ἅγιον* Νικόλαον. Ἀρχ. *Ἄνθρωπε τοῦ Θεοῦ καὶ πιστὲ θεράπον καὶ οἰκονόμε τῶν αὐτοῦ μυστηρίων.* Προτάσσονται *δὲ τοῦ* Ἐγκωμίου Στίχοι *ἰαμβικοὶ περὶ τοὺς* 50 (*καταλογάδην*). Ἀρχ.

Κρήτης *ὁ ποιμὴν δεῦρο παρὼν* Ἀνδρέας
ἀφίσταται γὰρ οὐδὲ τοῦ νῦν συλλόγου.

—ιϛʹ (φ. 131 α). "Τοῦ *ἐν ἁγίοις πατρὸς ἡμῶν* Σωφρονίου *ἀρχιεπισκόπου* **Ἱεροσολύμων** Λόγος *εἰς τὸ ἅγιον βάπτισμα.*" Ἀρχ. Πάλιν *φῶς προερχόμενον καὶ πάλιν ἐγὼ φωτιζόμενος.*—ιζʹ (φ. 143 α). "Τοῦ *ἐν ἁγίοις πατρὸς ἡμῶν* **Γρηγορίου** *ἐπισκόπου* **Νεοκαισαρείας Πόντου** *τοῦ θαυματουργοῦ* Λόγος *εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν* Θεοτόκου." Ἀρχ. Ἑορτὰς *μὲν ἁπάσας καὶ ὑμνῳδίας.*—ιηʹ (φ. 150 α). "Λόγος *διαλαμβάνων εἰς τὴν πρώτην καὶ δευτέραν καὶ τρίτην εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ* Προδρόμου *καὶ βαπτιστοῦ* Ἰωάννου." Ἀρχ. Πάλιν *ἡμῖν ὁ θεῖος* Πρόδρομος *ἐφέστηκε.*—ιθʹ (φ. 158 β). "**Γερμανοῦ Κωνσταντινουπόλεως** Εἰς *τὰ ἐγκαίνια τοῦ σεβασμίου ναοῦ τῆς* Θεοτόκου." Ἀρχ. *Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ* Θεοῦ.—κʹ (φ. 163 β). "Λόγος *διαλαμβάνων περὶ τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας δεσποίνης ἡμῶν* Θεοτόκου *πῶς ἐφανερώθη καὶ ὅπως ὁ μέγας τοῦτος πλοῦτος τεθησαύρισται καὶ πῶς...*" Ἀρχ. Ἀλλὰ *τῆς μὲν θείας ταφῆς τοῦ ζωηφόρου σώματος ὁ λόγος οὕτως ἔχων ἐστίν.*—καʹ (φ. 171 α). **Σωφρονίου Ἱεροσολύμων** Εἰς *τὴν* Ὑπαπαντήν. Ἀρχ. Τὰ *τῆς παρούσης ἱερᾶς πανηγύρεως ἡ εὐαγγελικὴ σάλπιγξ περιηχείτω.*—κβʹ (φ. 183 α). "Βίος *καὶ πολιτεία καὶ ἄθλησις τῆς ἁγίας ὁσιομάρτυρος* Παρασκευῆς." Ἀρχ. Καλὰ *μὲν καὶ τὰ τῶν φιλοθέων ἀνδρῶν ἀριστεύματα.*—κγʹ (φ. 193 α). "Βίος *καὶ πολιτεία τῶν ἁγίων καὶ ἰσαποστόλων μεγάλων βασιλέων* Κωνσταντίνου *καὶ* Ἑλένης." Ἀρχ. Τὰ *κάλλιστα τῶν διηγημάτων οὐ μόνον ἡδονὴν ἐνήεισι τοῖς ἀκούουσιν.*—κδʹ (φ. 204 β). "Ἀναζήτησις *εἰς τὴν εὕρεσιν τοῦ τιμίου καὶ ζωοποιοῦ* Σταυροῦ." Ἀρχ. Ἔτους *διακοσιοστοῦ καὶ τριακοσιοστοῦ τοῦ πάθους τοῦ κυρίου καὶ* Θεοῦ *καὶ σωτῆρος ἡμῶν* Ἰησοῦ Χριστοῦ.—κεʹ (φ. 210 α). Μαρτύριον *τῆς ἁγ.* Μαρίνης *τῆς ἐν* Ἀντιοχείᾳ. Ἀρχ. Οὐδὲν *οὕτως ἡδύνει καὶ καθ' ἱλαρύνει ψυχὴν ἀγαθήν.*—κϛʹ (φ. 219 α). "Βίος *καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ἁγίου ἐνδόξου* Εὐδοκίμου." Ἀρχ. Εἶτα *εἰ γραφικὴ μοι τοὐπιτήδευμα ἦν καὶ κεραννύειν ᾔσκητο χρώματα.*—κζʹ (φ. 240 α). "Τοῦ *σοφωτάτου καὶ λογιωτάτου κυροῦ* **Νικολάου τοῦ Πεπαγωμένου** Ἐγκώμιον *εἰς τὸν ἐν μάρτυσι μάρτυρα καὶ περιβόητον* Ἰσίδωρον." Ἀρχ. Ἡ *μὲν ἀληθὴς καὶ προσήκουσα τοῖς μάρτυσιν εὐφημία ζῆλος οἶμαι τῆς ἐκείνων ἀνδρείας.*—κηʹ (φ. 258 α). Ἐγκώμιον *εἰς τὸν μεγαλομάρτυρα* Γεώργιον (*ἀνεπίγραφον*). Ἀρχ. (*ἀκέφ.*) *ἐν ὀφθαλμοῖς παντοῖα προκείμενα οὐ μνήμη βασάνων αἵ τοῖς προειληφόσι τῶν ἁγίων ἐπήχθησαν.* Τέλ. *καὶ λαοὶ οἳ οὐκ ἐπίστανται ἐπ' αὐτὸν καταφεύγουσιν ἕνεκεν τῆς δόξης ἧς αὐτὸν ὁ πάντων δεσπότης ἐδόξασεν.*—κθʹ (φ. 276 β). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** "Λόγος *ἱστορικὸς εἰς τὴν πανσεβάσμιον τοῦ κυρίου καὶ* Θεοῦ *καὶ σωτῆρος ἡμῶν* Ἰησοῦ Χριστοῦ *γέννησιν.*" Ἀρχ. Ὁπόταν *τὸ ἔαρ ἐπέλθῃ.*—λʹ (φ. 277 β). **Ἀνδρέου Κρήτης** "Εἰς *τὴν γενέθλιον ἡμέραν τῆς ὑπεραγίας* Θεοτόκου." Ἀρχ. Ἀρχὴ *μὲν ἑορτῶν ἡ παροῦσα πανήγυρις.*—λαʹ (φ. 293 β). **Τοῦ αὐτοῦ** Εἰς *τὴν ὕψωσιν τοῦ* Σταυροῦ. Ἀρχ. Σταυροῦ *πανήγυριν ἄγωμεν.*—λβʹ (φ. 299 β). "**Γεωργίου** *μητροπολίτου* **Νικομηδείας** Λόγος *εἰς τὴν ὑπεραγίαν* Θεοτόκον *ὅτε προσηνέχθη ἐν τῷ ναῷ ὑπὸ τῶν αὐτῆς γονέων.*" Ἀρχ. Αἱ *τῶν θείων πανηγύρεων ἐλλάμψεις.*—λγʹ (φ. 307 β). **Ἰωάννου τοῦ Χρυσοστόμου** Λόγος *περὶ τῆς ἐνανθρωπήσεως τοῦ* Χριστοῦ. Ἀρχ. Τί *τοῦτο σημεῖον ἀντιλεγόμενον ὁρῶ.*—λδʹ (φ. 313 α). **Τοῦ αὐτοῦ** Εἰς *τὴν* Ῥαχὴλ *καὶ τὰ νήπια.* Ἀρχ. Ὥσπερ *οἱ τοὺς ἡδίστους καρπούς.*—λεʹ (φ. 315 β). "Διήγησις *διαλαμβάνουσα πόσοι ἀνέστησαν ἐκ τῶν νεκρῶν ὅτε ἐσταυρώθη ὁ* Κύριος."—Ἀρχ. Ὅτε *οὖν ἔστησαν οἱ* Ἰουδαῖοι *τὸν σταυρόν.* Τέλ. *καθεύδουσι γέγονε διὰ ταῦτα διὰ τὴν πρᾶξιν τῆς ἀναστάσεως· αὐτῷ γὰρ πρέπει δόξα, αἴνεσις, τιμὴ καὶ μεγαλοπρέπεια εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων ἀμήν.*—λϛʹ (φ. 316 α). "Μαρτύριον *τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος* Εὐφημίας." Ἀρχ. Διοκλητιανοῦ *τὰ* Ῥωμαίων *σκῆπτρα διέποντος.*—λζʹ (φ. 326 β). "Εἰς *τὴν περιφανῆ καὶ ὑπέρλαμπρον σταύρωσιν τοῦ κυρίου καὶ* Θεοῦ *καὶ σωτῆρος ἡμῶν* Ἰησοῦ Χριστοῦ." Ἀρχ.

Πλὴν *ἀλλὰ τὴν σὴν* Χριστὲ *μακροθυμίαν*
ἐκπλήττει μὲν καὶ βροτῶν πᾶσα ἡ φύσις.

—ληʹ (φ. 327 α). "Βίος *καὶ πολιτεία καὶ μαρτύριον τῶν ἁγίων ἐνδόξων πανευφήμων ἀποστόλων καὶ κορυφαίων* Πέτρου *καὶ* Παύλου." Ἀρχ. Καὶ *τῶν τεχνῶν οὐ μόνον τοὺς ἐξ ἀρχῆς πατέρας ἀποδεχόμεθα.*—λθʹ (φ. 339 β). "Μαρτύριον *τῶν ἁγίων ἐνδόξων μαρτύρων* Κυρίκου *καὶ* Ἰουλίττης." Ἀρχ. Καὶ *πᾶς μὲν λόγος μαρτυρικὴν ἀναπτύσσων ἄθλησιν.*—μʹ (φ. 346 β). "Μαρτύριον *τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος ἀθλοφόρου καὶ ἰαματικοῦ* Παντελεήμονος." Ἀρχ. Τῆς *εἰδωλικῆς ἀχλύος κατὰ πάσης διασκεδασθείσης τῆς οἰκουμένης.*—μαʹ (φ. 361 α). "Βίος *καὶ πολιτεία καὶ μαρτύριον τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ* Ἰωάννου." Ἀρχ. Ἰωάννην *τὸ μέγα κλέος τῆς οἰκουμένης.*—μβʹ (φ. 379 α). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς *τὸν ἅγιον προφήτην* Ἠλίαν. Ἀρχ. Ὁ *μακάριος καὶ μέγας προφήτης* Ἠλίας.—μγʹ (φ. 384 β). **Τοῦ αὐτοῦ** Ὑπόμνημα *εἰς* Πέτρον *καὶ* Ἠλίαν. Ἀρχ. Ὀλίγοι *ἡμῖν σήμερον οἱ παραγενόμενοι.*—μδʹ (φ. 395 β). **Τοῦ αὐτοῦ** Εἰς *τὴν* Μεταμόρφωσιν. Ἀρχ. Ἐπειδὴ *πολλὰ περὶ κινδύνων ὁ* Χριστὸς *διελέχθη.*—μεʹ (φ. 405 α). "Λόγος *διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας γεννήσεως ...τῆς...*Θεοτόκου." Ἴδ. *καὶ ἀρ.* 3715 (181), ιγʹ.

Ἐν φ. 434 βʹ Ἐγράφη *καὶ ὑπεγράφη τὸ παρὸν βιβλιδάριον διὰ χειρῶν ἐμοῦ εὐτελοῦς ἱερέως* Μιχαὴλ Κατραρίου *τοῦ καὶ* Χρυσοχόου *καὶ νομοφύλακος τῆς ἐν* Χίῳ *ἁγιωτάτης μητροπόλεως ἔτους* ,ϛϡκθʹ *ἰνδ.* ιδʹ ☉ *κύκλος* ιγʹ ☾ *κύκλος* ιγʹ (=1421). Ὑπὸ *δὲ ταῦτα*

μονοκονδυλία δυςξύμβλητος (*Ὁ νομοφύλαξ*;). Μετὰ δὲ ταῦτα· *Ἐξαναφτιάστη δὲ καὶ ἐδιωρθώθη παρ' ἐμοῦ εὐτελοῦς Ἰγνατίου ἱερομονάχου ἐν ἔτει ,ζρκϛ' ἐν τῇ εὐαγεστάτῃ μονῇ τοῦ κῦρ Διονυσίου ἧς καὶ κτῆμα τυγχάνει Ἀπριλλίου ιϛ'* (=1618).

Ἐν φ. 3α *ἐν μέσῳ φύλλων ἀγράφων* "*Πίναξ ἀκριβὴς τῆς παρούσης πυκτίδος.*"

3763. 229. Χαρτ. 8. XV.

"Βίβλος ἐπονομαζομένος Μέλισσα ἥδητάτη ὡραῖος."

1. *Συλλογὴ κεφαλαίων ρια', ὧν α'* "*Τί τὸ σημεῖον τοῦ τελείου Χριστιανοῦ,*" *β'* "*Περὶ ἐσφαλμένης πίστεως,*"...*ρια'* "*Περὶ τῶν ιβ' Ἀποστόλων αἱ πατρίδαι καὶ τὰ ὀνόματα τῶν γεννησάντων αὐτούς...*" —2. **Ἀναστασίου τοῦ Σιναΐτου** "*Ἀπόκρισις πρὸς τὰς προσενεχθείσας αὐτῷ ἐπερωτήσεις παρά τινων ὀρθοδόξων περὶ διαφόρων κεφαλαίων.*"—3. **Ἀθανασίου Ἀλεξανδρείας** "*Πρὸς Ἀντίοχον ἄρχοντα περὶ πλείστων καὶ διαφόρων ζητημάτων...*" Κεφ. *ρλε', ὧν περιέχονται μόνα ριδ', τοῦ κώδικος μένοντος κολοβοῦ.*

Προτάσσεται "*Πίναξ σὺν Θεῷ ταύτης τῆς βίβλου.*" Τοῦ δὲ Πίνακος *τῶν Ἀποκρίσεων Ἀναστασίου τοῦ Σιναΐτου προηγεῖται* "*Ὅρος τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου.*" Ἀρχ. **Εὐγένιος** *ἐπίσκοπος δοῦλος τῶν δούλων τοῦ Θεοῦ εἰς ἀΐδιον τοῦ πράγματος μνήμην, συναινοῦντος τοῖς ὑπογεγραμμένοις καὶ τοῦ ποθεινοτάτου υἱοῦ ἡμῶν Ἰωάννου Παλαιολόγου τοῦ περιφανοῦς βασιλέως τῶν Ῥωμαίων καὶ τῶν τοποτηριτῶν τῶν σεβασμίων ἀδελφῶν ἡμετέρων τῶν πατριαρχῶν καὶ τῶν λοιπῶν τῶν τὴν ἀνατολικὴν ἐκκλησίαν παριστανόντων. Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· ἀφήρηται μὲν γὰρ τὸ μεσότειχον τὸ τὴν δυτικὴν καὶ ἀνατολικὴν διαιροῦν ἐκκλησίαν.* Τέλ. *Ἐδόθη ἐν τῇ Φλωρεντίᾳ ἐν δημοσίᾳ συνελεύσει ἑορτασίμως ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τελεσθεῖσα ἔτει ἀπὸ τῆς τοῦ Κυρίου σαρκώσεως α^ω υ^ω λ^ω θ^ω Ἰουλ. ϛ' ἡμέρᾳ δευτέρᾳ ἰνδ. β^ας καὶ τῆς ἀρχιερατείας ἡμῶν ἔτει θ^ω.*

Ὁ κῶδιξ *τιλφόβρωτος, ἰδίως ἐν τοῖς τελευταίοις φύλλοις.*

3764. 230. Χαρτ. 8. XVII.

1. Βίοι καὶ μαρτύρια ἁγίων.

α'. Βίος καὶ πολιτεία Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ.—β'. Μαρτύριον ἁγ. Αἰκατερίνης.—γ'. Βίος καὶ πολιτεία ἁγ. Φιλαρέτου τοῦ ἐλεήμονος.—δ'. Μαρτύριον ἁγ. Βαρβάρας.—ε'. Βίος καὶ πολιτεία ἁγ. Ἰωάννου τοῦ Καλυβίτου.—ϛ'. "*[Ἐ]κ τοῦ βίου τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου μερικὸν πεζῇ φράσει.*"

2. [Ἐ]κ τῶν ἀποκρίσεων τοῦ **Μακαρίου Ἀλεξανδρέως** *πρὸς τὸν μέγαν Εὐσέβιον. Περὶ τῶν τοῦ Θεοῦ κριμάτων καὶ ἀώρου θανάτου.*"

3. Βίοι καὶ μαρτύρια ἁγίων.

α'. Μαρτύριον ἁγ. Ἀγάθης.—β'. Μαρτύριον ἁγ. Νικηφόρου.—γ'. Μαρτύριον ἁγ. Χαραλάμπους.

4. "Λόγος ἁπλὸς καὶ διδακτικὸς περὶ ἀγάπης Θεοῦ ...*συνηλεγμένος μετ ἐπιμελείας ἐκ τῆς θείας Γραφῆς παρὰ* **Ἰωσὴφ ἱερομονάχου τοῦ ἐ Ἑλλανικοῦ** *μετὰ πολλοῦ κόπου.*"

Αἱ λέξεις *Ἰωσὴφ—κόπου διαγεγραμμέναι διὰ κινναβάρεως.*

5. Βίοι καὶ μαρτύρια ἁγίων καὶ Λόγοι πανηγυρικοὶ εἰς ἑορτάς.

α'. "*Λόγος εἰς τὴν ἀνακομιδὴν τῆς ἁγίας δεξιᾶς χειρὸς τοῦ τιμίου Προδρόμου καὶ περὶ τῶν θαυμάτων αὐτῆς.*"—*β'. Βίος καὶ πολιτεία Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.—γ'.* "*Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν* **Γρηγορίου** *ἀρχιεπισκόπου* **Θεσσαλονίκης** *Ὁμιλία τῇ β' Κυριακῇ τῆς ἁγίας Τεσσαρακοστῆς, ὑπόθεσιν ἔχουσα τὸν ἐν Καπερναοὺμ ἰαθέντα παρα τοῦ Κυρίου παράλυτον· ἐν ᾗ καὶ πρὸς τοὺς ἀκαίρως ὁμιλοῦντας ἀλλήλοις ἐν ταῖς κατὰ τὴν ἐκκλησίαν ἱεραῖς συντάξεσιν.*"—*δ'. Μαρτύριον ἁγ. Εἰρήνης.—ε'. Μαρτύριον ἁγ. Χριστοφόρου καὶ τῶν σὺν αὐτῷ.—ϛ'. Βίος καὶ μαρτύριον ἁγ. Προκοπίου καὶ τῶν σὺν αὐτῷ.—ζ'.* "*Μαρτύριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Παντελεήμονος, μεταφρασθὲν εἰς τὴν κοινὴν γλῶτταν παρὰ* **Ἰγνατίου [Πετρίτζη;]** *τοῦ ἐν ἱερομονάχοις,* **τοῦ ἐκ Χίου,** *τοῦ ἐλαχίστου.*"—*η'.* "*Βίος καὶ ἄσκησις τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου τοῦ Ἀθηναίου τοῦ ἀσκήσαντος ἐν τῷ ὄρει τῆς Θράκης πλησίον Αἰθιοπίας.*"

6. **Ἰωάννου τοῦ Χρυσοστόμου** Περὶ μετανοίας.

7. Διηγήσεις ἐκ τοῦ Γεροντικοῦ.

α'. "*Περὶ Ἰουλίου τοῦ ἐλεήμονος, ὅπως πέπρακε τὸν υἱὸν αὐτοῦ καὶ πῶς ἐρρύσθη ἐκ τοῦ θανάτου οὗτος διὰ τὴν ὑπακοήν του.*"—*β'.* "*Περὶ τοῦ σφάξαντος τὸ παιδίον αὐτοῦ διὰ τὸν φίλον.*"—*γ'.* "*Περὶ τοῦ δόντος πλουσίου τὰς τριάκοντα λίτρας τοῦ χρυσίου καὶ ὕστερον μεταμεληθέντος, τί πέπονθε.*"

8. "Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θεοφόρου *πατρὸς ἡμῶν Μακαρίου τοῦ Ῥωμαίου τοῦ ἀπὸ εἴκοσι μιλίων τοῦ παραδείσου ἀσκήσαντος.*"

9. **Ἐφραὶμ τοῦ Σύρου** "Λόγος ἀναγινωσκόμενος *εἰς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν καὶ εἰς σωφροσύνην καὶ ποιεῖν ἔργα ἀγαθὰ ἐν τῷ παρόντι βίῳ.*"

10. Διηγήσεις ἐκ τοῦ Γεροντικοῦ.

11. "Ἀποφθέγματα καὶ ἱστορίαι τῶν ἁγίων *μαζομένα ἐκ τοῦ Πατερικοῦ καὶ τῶν Βίων τῶν ἁγίων, ἑρμηνευθέντα εἰς πεζὴν φράσιν παρὰ* **Γεωργίου ῥήτορος Αἴνου.**"

12. **Ἰωάννου τοῦ Χρυσοστόμου** "Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Τιμόθεον ἐπιστολῆς."

13. "Ἕτερος λόγος **τοῦ Χρυσοστόμου** Περὶ τούτων."

14. "Ὁμιλία περὶ προσευχῆς πάνυ ὠφέλιμος **Εὐγενίου τοῦ Αἰτωλοῦ.**"

15. "Διήγησις πάνυ ὠφέλιμος **Μακαρίου τοῦ Αἰγυπτίου.**"

16. "Περὶ τοῦ μὴ ψέγειν τι τῶν ἐν τῇ τραπέζῃ *παραθεμένων καὶ μηδὲ ὁμιλεῖν τὸ καθόλου μηδὲ γελᾶν· λόγος κατηχητικός.*"

17. "Περὶ ἀπάτης καὶ πλάνης τῶν δαιμόνων *ὁποῦ κάμνουν εἰς τοὺς ἀνθρώπους· τοῦ* **ἀββᾶ Μακαρίου** *διήγησις ὥραια.*"

18. "Εἰς τὸ Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ..."

19. Λόγος κατηχητικὸς Εἰς τὸ "Εἶπεν ὁ Κύριος *τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἦν πλούσιος καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς.*"

20. "Διήγησις περὶ τοῦ ἀνθρώπου καὶ τοῦ ὄφεως."

21. "Διήγησις τοῦ ὁσίου πατρὸς ἡμῶν **Μακαρίου τοῦ Ἀλεξανδρέως** *περὶ τῶν κεκοιμημένων ψυχῶν καὶ περὶ μνημοσύνων.*"

22. "Ἰωάννου τοῦ Δαμασκηνοῦ Περὶ τῶν κεκοιμημένων."

23. "Ἐκ τοῦ Θεολόγου Γρηγορίου."

24. Διηγήσεις.

α'. "Διήγησις φοβερὰ περὶ θανάτου ἁμαρτωλοῦ καὶ δικαίου." —β'. "Ἑτέρα διήγησις Παύλου τοῦ ἁπλοῦ."—γ'. "Ὀπτασία θαυμαστὴ Παύλου τοῦ ἁπλοῦ περὶ τοῦ μετανοήσαντος ἁμαρτωλοῦ."

25. "Τὸ ἴσον τοῦ εὑρεθέντος κατὰ τὸ αφπ' ἔτος ἀπὸ Χριστοῦ εἰς τὴν χώραν Ἄκιλαν."

Ἀπόφασις Πιλάτου.

26. "Ἐπιστολὴ Ποντίου Πιλάτου πρὸς τὸν βασιλέα Τιβέριον..."

27. "Ἀντίγραμμα καίσαρος [Τιβερίου] πρὸς Πιλάτον Πόντιον κατηγορικόν."

28. "Τοῦ ὁσίου πατρὸς ἡμῶν Δωροθέου Ἐκ τῶν αὐτοῦ λόγων περὶ νηστείας."

29. "Τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου Κεφάλαια εὐσύνοπτα πάνυ ὠφέλημα."

30. "Ἀνάμνησις μερικὴ περὶ τοῦ Ἄθω ὄρους, τὰ λεγόμενα Πάτρια."

31. Βίος καὶ πολιτεία ὁσίου Πέτρου τοῦ ἐν Ἄθῳ ἀσκήσαντος (κολοβ.).

Τὰ ὑπ' ἀρ. 1 β', γ', ϛ', 2, 3 β', γ', 4, 5 α', β', γ', ϛ', ζ', 6, 7 α', 8, 10—19, 24 α', β', 31 ἐν τῇ καθωμιλημένῃ.

Μετὰ τὸ ὑπ' ἀρ. 1α Πίναξ τῶν ἐν τοῖς ἑπομένοις περιεχομένων.

3765. 231. Χαρτ. 8. XVI.

1. Ἰωάννου τοῦ Χρυσοστόμου Λόγοι.

α'. Εἰς τὴν ξηρανθεῖσαν συκῆν.—β'. Εἰς τὰς δέκα παρθένους. —γ'. Εἰς τὸ Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.—δ'. "Περὶ μνησικακίας καὶ ὅτι πάντα ὑποφέρειν ἡμᾶς δεῖ τὰ ἐπερχόμενα." —ε'. Εἰς τὸ Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ.—ϛ'. "Κατὰ φιλαργύρων· καὶ ὅτι ἀπὸ ῥαθυμίας τίκτετε τὸ δεινὸν τοῦτο νόσημα..."—ζ'. "Εἰς τὸ Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον..." —η'. "Κατὰ φιλαργύρων καὶ πλεονεκτῶν καὶ ὅτι χείρων τῶν δαιμονόντων εἰσίν."—θ'. Εἰς τὸ Καὶ ἰδοὺ εἷς τῶν μετὰ τοῦ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα αὐτοῦ.—ι'. "Ἠθικὸν περι ἀνεξικακίας καὶ θυμοῦ."—ια'. Εἰς τὸ Ἀπὸ δὲ τῆς ἕκτης ὥρας σκότος ἐγένετο.—ιβ'. "Ἠθικόν, τοῦ αὐτοῦ λόγου, περὶ ἐλεημοσύνης...ἐν ᾧ καὶ κατηγορία, ὅτι βουστάσιον καὶ ὄνων καὶ καμήλων τὴν ἐκκλησίαν πεποιήκαμεν ἐκ τῶν ἀκαθάρτων ἔργων."—ιγ'. Εἰς τὴν Ἀνάστασιν.—ιδ'. Εἰς τὴν ἀπιστίαν τοῦ Θωμᾶ.—ιε'. "Εἰς τὸν παράλυτον καὶ εἰς τὸ Μὴ κρίνατε κατ' ὄψην."—ιϛ'. Εἰς τὴν Μεσοπεντηκοστήν.—ιζ'. Εἰς τὴν Σαμαρεῖτιδα.

2. Κυρίλλου Ἀλεξανδρείας Εἰς τὴν Ἀνάληψιν.

3. Ἰωάννου τοῦ Χρυσοστόμου

α'. Εἰς τὴν Πεντηκοστήν.—β'. Ἐγκώμιον εἰς τὴν μνήμην τῶν Ἀποστόλων.

4. Πρόκλου Κωνσταντινουπόλεως Εἰς τὴν Μεταμόρφωσιν.

5. Ἰωάννου τοῦ Χρυσοστόμου Λόγοι.

α'. Εἰς τὸν Τελώνην καὶ Φαρισαῖον.—β'. Εἰς τὸν ἄσωτον υἱόν.—γ'. Εἰς τὸν μάταιον βίον καὶ εἰς κοιμηθέντας.—δ'. Εἰς τὴν δευτέραν παρουσίαν.—ε'. Εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου.

6. "Τοῦ μακαριωτάτου ἐπισκόπου Ταυρομενίου τοῦ ἐπίκλην Κεραμέως Λόγος τῇ Κυριακῇ τῆς ὀρθοδοξίας."

7. Θεοδώρου τοῦ Στουδίτου Εἰς τὴν προσκύνησιν τοῦ Σταυροῦ.

8. "Βίος Εὐλογίου τοῦ λαττόμου."

9. "Διήγησις περί τηνος μαϊστρηανοῦ, τοῦ ποιήσαντος τὴν ἐλεημοσύνην εἰς τὸν ἐν τῇ ὁδῷ νεκρόν."

10. "Λόγος περὶ ἐλεημοσύνης ἐκ τοῦ βίου τοῦ ἁγίου Γρηγορίου τοῦ Διαλόγου."

11. Ἰωάννου τοῦ Χρυσοστόμου Λόγοι.

α'. Εἰς τὴν γέννησιν τοῦ Χριστοῦ εἰς τὸ Τοῦ δὲ Ἰησοῦ γεννηθέντος.—β'. "Ὅτι τὸ κατὰ Θεὸν πένθος καὶ χαρὰν ποιεῖ μεγάλην καὶ ὀφέλειαν..."

12. Ἀμφιλοχίου Ἰκονίου Εἰς τὴν Ὑπαπαντὴν καὶ εἰς τὸν Συμεῶνα καὶ τὴν Ἄνναν.

13. "Διήγησις περι τοῦ γενομένου θαύματος ἐν Χῶναις παρὰ τοῦ ἀρχιστρατίγου Μιχαήλ."

14. Μαρτύριον ἁγίου μεγαλομάρτυρος Νικήτα.

15. "Ἰωάννου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου μητροπολίτου Εὐχαΐτων. Μιχαὴλ τοῦ συγκέλλου καὶ ὁμολογητοῦ Λόγος εἰς τοὺς ἀρχαγγέλους καὶ πάσας τὰς ἐπουρανίους δυνάμεις πρὸς τὸ τέλει τοῦ τοιούτου λόγου."

16. "Ἐφραὶμ τοῦ Σύρου Λόγος ἀναγινωσκόμενος εἰς ὀφέλειαν ἡμῶν, καὶ σοφροσύνην, καὶ ποιεῖν ἔργα ἀγαθὰ ἐν τῷ παρόντι βίῳ."

17. Βασιλείου τοῦ μεγάλου Λόγος Περὶ νηστείας.

18. Ἰωάννου τοῦ Χρυσοστόμου Λόγοι.

α'. "Περὶ τῆς γεέννης τοῦ πυρὸς καὶ ὅτι χεῖρον ἦν αὐτῆς ἡ ἀπόφασις τοῦ Κυρίου..."—β'. "Ἀποδεικτικὸς περὶ τῶν ἐξ ἡμῶν μεταστάντων, ἵνα μὴ τούτους θρηνοῦμεν."

19. "Διήγημα θαυμαστὸν καὶ ὠφέλιμον."

20. Ἰωάννου τοῦ Χρυσοστόμου Εἰς τὰ Βαΐα.

21. Ἀναστασίου τοῦ Σιναΐτου "Λόγος περὶ τῆς συνάξεως καὶ περὶ τοῦ μὴ μνησικακεῖν."

22. Ἰωάννου τοῦ Χρυσοστόμου Εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου.

23. "Ἄμωμος μετὰ τῶν μεγαλυναρίων, ψαλλόμενος ἐν τῇ κοιμήσει τῆς ὑπεραγίας Θεοτόκου."

24. "Λόγος διαλαμβάνων περὶ τῆς εὑρέσεως καὶ ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ."

Ἀρχ. Ἔτους διακοσιοστοῦ τρίτου ἐγένετο.

25. Ἰωάννου τοῦ Χρυσοστόμου Εἰς τὰ Θεοφάνεια τοῦ Χριστοῦ.

26. "Θαύματα τοῦ μεγάλου Βασιλείου" δύο.

27. "Περὶ τῶν πασχαλίων, πῶς δεῖ εὑρίσκειν τοὺς κύκλους, τὸ Πάσχα..."

28. Νεκταρίου Κωνσταντινουπόλεως "Διήγησις δι' ἣν αἰτίαν τῷ πρώτῳ Σαββάτῳ τῶν ἁγίων νηστειῶν ἑορτάζομεν τὴν τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου μνήμην, καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης."

29. "Διήγησις διαλαμβάνουσα περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων· καὶ ὅπως καὶ δι' ἣν αἰτίαν παρέλαβε τὴν ὀρθοδοξίαν ἐτησίως τελεῖν τῇ πρώτῃ Κυριακῇ τῶν νηστειῶν ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ μεγάλη ἐκκλησία."

Ἀρχ. Τοῦ βασιλέως Θεοφίλου τὸ κατ' ἐκεῖνο καιροῦ συγχωρήσει Θεοῦ τὴν αὐτοκρατορικὴν διέποντος ἀρχήν.

30. "Βίος καὶ πολιτεία τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας, συγγραφεὶς παρὰ τοῦ ὁσίου πατρὸς ἡμῶν **Σοφρονίου** ἀρχιεπισκόπου **Ἱεροσολύμων**."

Ἐν ἀρχῇ τοῦ κώδικος Πίναξ τῶν περιεχομένων.

3766. 232. Χαρτ. 8. XVII. (φ. 3, χνδ').

1 (φ. α' α). "Ἐπιστολὴ πρὸς ἀδελφὸν αἰτήσαντα πεμφθῆναι αὐτῷ τοὺς εὑρεθέντας λόγους τοῦ πατρὸς ἡμῶν Δωροθέου."

2 (φ. ιγ' α). "Ἐρωτήσεις καὶ ἀποκρίσεις τοῦ **ἀββᾶ Δωροθέου** τοῦ μακαρίου πρὸς τὸν μέγαν γέροντα τὸν ἅγιον Βαρσανούφιον καὶ πρὸς τὸν αὐτοῦ μαθητήν, ἤτοι συνασκητὴν τὸν ἀββᾶν Ἰωάννην τὸν ἐπικληθέντα προφήτην διὰ τὸ διορατικὸν χάρισμα, ὃ εἶχε παρὰ τοῦ Θεοῦ."

3 (φ. ιθ' β). "Τοῦ **ἀββᾶ Δωροθέου** Διδασκαλεῖαι διάφοροι πρὸς τοὺς αὐτοῦ μαθητάς, ἀναχωρήσαντος αὐτοῦ ἐκ τῶν τοῦ ἀββᾶ Σερίδου, καὶ τὸ ἴδιον σὺν Θεῷ συστησαμένου μοναστήριον μετὰ τὴν τοῦ ἀββᾶ Ἰωάννου τελευτὴν καὶ τελείαν σιωπήν, καὶ τοῦ ἀββᾶ Βαρσανουφίου."

4 (φ. ρξδ' α). "Τοῦ ἁγίου καὶ **ὁσίου** πατρὸς ἡμῶν **Νείλου** Περὶ τῶν ὀκτὼ τῆς πονηρίας πνευμάτων."

5 (φ. ροζ' β). "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Συμεὼν τοῦ νέου καὶ Θεολόγου** Περὶ ἀρχῆς βίου ἁρμοζούσης τοῖς ἄρτι τῷ κόσμῳ ἀποτασομένοις καὶ πρὸς τὸν μοναδικὸν ἀποτρέχοντι βίον, καὶ Διδασκαλία εἰς ἀρχαρίους λυσιτελεστάτη."

6 (φ. ρπϛ' β). "**Τοῦ αὐτοῦ** Περὶ μετανοίας καὶ ἀρχῆς βίου μοναδικοῦ, καὶ πῶς τὶς ὁδῷ καὶ τάξει προβαίνων εἰς ἀρετὴν ἐν τῇ τῶν ἐντολῶν ἐργασίᾳ, εἰς τελειότητα ἔρχεται."

7 (φ. ρϞβ' β)· "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀββᾶ **Ἰσαὰκ τοῦ Σύρου** καὶ ἀναχωρητοῦ τοῦ γεναμένου ἐπισκόπου τῆς φιλοχρίστου πόλεως Νινευΐ Λόγος κ^{ος} περὶ τάξεως ἀρχαρίων."

Ἕπονται **Τοῦ αὐτοῦ** Ἕτεροι ε' λόγοι καὶ διδασκαλίαι.

8 (φ. σκα' α). Τοῦ **ἁγίου Νίκωνος** Κεφάλαια ἀσκητικὰ γ'.

Λόγ. λϛ', κη', ν'. Περιέχεται καὶ ἐκλογὴ ἀποσπασμάτων ἐκ τῶν Λόγων **πατέρων**, Κανόνων **συνοδικῶν** καὶ **ἀποστολικῶν** καὶ ἐκ τοῦ **Γεροντικοῦ**.

9 (φ. τκβ' α). "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Συμεὼν τοῦ νέου Θεολόγου** Λόγος ἀσκητικός, περὶ τοῦ φεύγειν τοὺς λοιμοὺς καὶ φθοροποιοὺς τῶν ἀνθρώπων."

10 (φ. τλζ' α). **Ἐφραὶμ τοῦ Σύρου** Παραινέσεις κη' πρὸς μοναχούς.

11 (φ. υδ' β). "Ἐρωτήσεις **γερόντων**, διαλέξεις πρὸς ἀλλήλους ὑπὲρ λογισμῶν, κατὰ πεῦσιν καὶ ἀπόκρισις."

Ἰδ. καὶ κατωτέρω ἀρ. 24 (φ. χι' β).

12 (φ. υϛ' β). "Ἀποφθέγματα τῶν ἁγίων **πατέρων** τῶν ἐν τῇ ἀσκήσει γηρασάντων, ὡς ἐν ἐπιτόμῳ, τὴν ἄκραν αὐτῶν ἀρετὴν δηλοῦντα."

13 (φ. υη' α). **Ἐφραὶμ τοῦ Σύρου** α' (φ. υη' α). "Παραίνεσις πρὸς μοναχὸν ἐκπεσόντα, καὶ περὶ μετανοίας."—β (φ. υιϛ' α). "**Τοῦ αὐτοῦ** Λόγος ἀσκητικὸς πάνυ θαυμαστὸς καὶ κατανυκτικός."—γ' (φ. υμη' α). "Συμβουλία περὶ πνευματικοῦ βίου πρὸς Νεόφυτον μοναχόν" Κεφ. ζ'.—δ' (φ. υξθ' β). "**Τοῦ αὐτοῦ** Περὶ ὀρθοῦ βίου Κεφάλαια πθ'."—ε' (φ. υπβ' α). "**Τοῦ αὐτοῦ** Μακαρισμοί."—ϛ' (φ. υϞϛ'). "**Τοῦ αὐτοῦ** Περὶ ἀρετῶν καὶ κακιῶν."—ζ' (φ. φιϛ' α). "**Τοῦ αὐτοῦ** Λόγοι ἀσκητικοὶ εἰς τὸ Πρόσεχε σεαυτῷ."—η' (φ. φζ' β). "**Τοῦ αὐτοῦ** Κεφάλαιον β^{ον}, Παραβολή."

14 (φ. φκ' α). "Ἐκ τῆς Διόπτρας τοῦ **μοναχοῦ Φιλίππου** ἀπ' ἀρχῆς στίχοι τοβ'."

Ἀρχ.
Πῶς καθῃ πῶς ἀμεριμνεῖς, πῶς ἀμελεῖς ψυχή μου.
Τέλ.
Τὸ χαίρειν μετὰ χαίροντος, τὸ συμπενθεῖν πενθοῦσιν.

15 (φ. φκη' α). "Διήγησις ὡραία καὶ ὠφέλιμος περὶ μετανοίας."

16 (φ. φλ' α). "Περὶ τῆς ἁλώσεως Ἱερουσαλὴμ. τὰ λαληθέντα ὑπὸ τοῦ Κυρίου πρὸς Ἱερεμίαν· καὶ ὅπως ἡ αἰχμαλωσία γέγονεν· ἔχει δὲ οὕτως."

Ἀρχ. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐλάλησε Κύριος πρὸς Ἱερεμίαν.

17 (φ. φλζ' β). "Μηνὶ Νοεμβρίῳ ια'. Τοῦ ἁγίου μεγαλομάρτυρος Μηνᾶ. Θαύματα τοῦ αὐτοῦ."

18 (φ. φμα' β). "Τῷ αὐτῷ μηνὶ ιε'. Θαῦμα τῶν ἁγίων ὁμολογητῶν Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου."

19 (φ. φμβ' β). **Ἰωάννου τοῦ Νηστευτοῦ** Λόγος περὶ ἐξόδου ψυχῆς.

20 (φ. φμδ'). **Ἰωάννου τοῦ Χρυσοστόμου** "Λόγος ἐπιστολιμαῖος πρός τινα ἡγούμενον αἰτήσαντα παρ' αὐτοῦ πεμφθῆναι αὐτῷ κανόνα πνευματικῆς διδασκαλίας..."

21 (φ. φνδ' β). "Ὀπτασία **Κοσμᾶ μοναχοῦ** φοβερὰ καὶ ὠφέλιμος."

22 (φ. φξ' β). "Κεφάλαια ἐκ τῶν θεοφόρων **πατέρων** ὡραῖα καὶ ὠφέλιμα κατὰ ἄβ^{ον}."

23 (φ. φξη' α). "Ἐκλογαὶ διάφοροι ἐκ τῶν θείων καὶ ἱερῶν βιβλίων πάνυ ὠφέλιμοι."

Ἐκ τῶν συγγραφῶν **Ἐφραὶμ τοῦ Σύρου, Ἰωάννου τοῦ Χρυσοστόμου, Μαξίμου τοῦ ὁμολογητοῦ, Πέτρου τοῦ ἀποστόλου, ἀββᾶ Στεφάνου** "Ἐντολαὶ ιβ'," **Βασιλείου τοῦ μεγάλου, Ἰσιδώρου τοῦ Πηλουσιώτου, Διαδόχου Φωτικῆς, τῆς Καινῆς Διαθήκης** κτλ.

24 (φ. χι' β). "Ἐρωτήσεις **γερόντων** καὶ διαλέξεις πρὸς ἀλλήλους περὶ λογισμῶν, κατὰ πεῦσιν καὶ ἀπόκρισιν."

Τούτων φαίνονται ἀντίγραφον τὰ ἀνωτέρω ὑπ' ἀρ. 11 (φ. υδ' β) ἅτε γεγραμμένα ὑπὸ χειρὸς νεωτέρας.

25 (φ. χιϛ' α). [**Ἐπιφανίου Κύπρου**] "Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Φυσιολόγου, περιέχων τὰς φύσεις τῶν ζῴων, περὶ ὧν ἐμνημόνευσεν ὁ Δαβίδ."

Ἀρχ. Κύριε μὴ ἁρπάσῃς ὡς λέων τὴν ψυχήν μου μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος. Περὶ λέοντος. Ὅτε λέων μὴ εὑρίσκει τὶ φαγεῖν, τί ποιεῖ· πορευόμενος ἐν ἀγρῷ ἐρήμῳ.

Ἐν τέλει· Τέλος τοῦ Φυσιολόγου· σύγγνωτε οἱ ἀναγινώσκοντες τοῦτον, ἐπείπερ λίαν διεφθαρμένον τὸ ἀντιβόλαιον καὶ διεσφαλμένον.

26 (φ. χλη΄ β). "Λόγοι ἀρχαίων **πατέρων** ἁγίων."
Δύο βραχεῖαι διηγήσεις.

27 (φ. χλθ΄ α). "Ἐκ **τοῦ Γεροντικοῦ.**"

28 (φ. χμ΄ α). "Τοῦ **ἁγίου Μακαρίου.**"
Ἀρχ. Πρῶτον ὁ τῷ σκοπῷ τῆς εὐσεβείας τρέχων.

29 (φ. χμβ΄ α). **Βασιλείου τοῦ μεγάλου**
"Λόγος περὶ ἀσκήσεως, πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν."

30 (φ. χμδ΄ α). "**Τοῦ ἀββᾶ Ἡσαΐου**
Περὶ καταστάσεως ἀρχαρίων καὶ περὶ τῶν μονοκελλιτῶν καὶ τῶν θελόντων οἰκῆσαι ἐν κοινοβίῳ."

31 (φ. χμθ΄ β). "Ἐκ **τοῦ Γεροντικοῦ.**"

32 (φ. χνα΄ α). "**Μάρκου Μοναχοῦ** Διήγησις τῶν θαυμάτων τοῦ ἁγίου ἐνδόξου καὶ θαυματουργοῦ Γεωργίου τοῦ μάρτυρος τῶν εἰς τοὺς Σαρακινοὺς γενομένων."

Ἐν φ. 1 α Πίναξ τῶν περιεχομένων.

Ὁ κῶδιξ γέγραπται ὑπὸ διαφόρων χειρῶν τοῦ αὐτοῦ αἰῶνος.

3767. 233. Χαρτ. 8. XIV.

1. **Γρηγορίου τοῦ Θεολόγου** Οἱ ιϛ΄ ἀναγινωσκόμενοι λόγοι.

Ἀκέφαλος. Σῴζονται μόνον οἱ ἀπὸ τοῦ δ΄ καὶ ἑξῆς. Ὁ δ΄ (ἀκέφ.) ἄρχ.... γὰρ τῶν ἀκουόντων ἂν εἴη μᾶλλον ἢ τῶν λεγόντων τὸ θαῦμα.—ε΄. Εἰς τοὺς Μακκαβαίους.

2. **Ἰωάννου τοῦ Χρυσοστόμου**

α΄. Περὶ μετανοίας. Ἀρχ. Εἴδετε τῇ προτέρᾳ Κυριακῇ πόλεμον καὶ νίκην.—β΄. Περὶ νήψεως ἤτοι νουθεσίαι πνευματικαί. Ἀρχ. Καιρὸς λοιπὸν ἀδελφὲ διανῆψαι. Τέλ. (κολοβ. ὀλίγον μετ᾽ αὐτὴν τὴν ἀρχήν) ἵνα εὐμενῶς προσδέξηταί σε καὶ ἀνοίξῃ σοι ἐν καιρῷ ταχέως...

3768. 234. Χαρτ. 8. XVII. (φ. σοη΄).

1 (φ. α΄ α). "**Χριστοφόρου ἀρχιεπισκόπου Ἀλεξανδρείας** Λόγος μεταφρασθεὶς εἰς τὸν ὄφιν."

Ἀρχ. Ὁμοιώθη ἡ ζωὴ ἡμῶν ἀνθρώπῳ οἰκοδεσπότῃ.

2 (φ. ζ΄ β). "Ἐκ **τοῦ Γεροντικοῦ** Λόγοι τινὲς ὠφέλημοι καὶ ἀναγκαῖοι."

3 (φ. μθ΄ α). "**Τοῦ ἁγίου Ἐφραὶμ** Περὶ αἰσχρῶν λογισμῶν."

Ἀρχ. Ἀδελφοὶ οἱ ἀρχαῖοι μόσχους καὶ κριοὺς καὶ ἀμνοὺς πάντες εἰς θυσίαν προσέφερον τῷ Κυρίῳ.

4 (φ. νϛ΄ β). "**Γρηγορίου τοῦ** Διαλόγου."

Ἀπόσπασμα. Ἀρχ. Ἐν τοῖς τῆς Καμπανείας μέρεσιν ἐν τῷ ὄρει τῷ Εἰσμαρσὶν ἀνήρ τις σφόδρα εὐλαβέστατος Μαρτῖνος ὄνομα.

5 (φ. νζ΄ β). "Ἐκ τοῦ **Γεροντικοῦ**" καὶ τοῦ Λαυσαϊκοῦ.

Μεταξὺ τούτων διάφορα ἀποσπάσματα **Γρηγορίου Διαλόγου, Ἀμφιλοχίου Ἰκονίου, Ἐφραὶμ τοῦ Σύρου, ἀββᾶ Μάρκου** καὶ ἄλλων. Τελευταῖα κεφάλαια φ. ϟα΄ α "Διήγησις Θεοδωρήτου πατριάρχου Ἀλεξανδρείας." Ἀρχ. Μοναχός τις διηγήσατο ἡμῖν λέγων ὅτι παραβαλόντος μου ποτὲ τῷ ἁγίῳ Θεοδωρήτῳ.—φ. ϟϛ΄ α. "Διήγησις περὶ τοῦ ἀββᾶ Παμβὼ" καὶ ἄλλαι διηγήσεις ἐκ τοῦ Γεροντικοῦ.—φ. ρβ΄ α. "Λόγοι ὠφέλημοι ἐκ τοῦ Γεροντικοῦ περὶ παθῶν σαρκικῶν," ὧν τινες ἔχουσιν ἰδίας ἐπιγραφάς.—φ. ρμζ΄ β. "Περὶ τοῦ παιδὸς τοῦ εἰδότος τὴν ὀπτασίαν ἐν τῷ ἁγίῳ βαπτίσματι." Ἀρχ. Ἐν ταῖς ἡμέραις τῶν βασιλέων Λέοντος καὶ Ἀλεξάνδρου.

6 (φ. ρξ΄ α). **Ἐφραὶμ τοῦ Σύρου**

α΄ (φ. ρξ΄ α). Βραχὺ ἀπόσπασμα. Ἀρχ. Μὴ εἴπῃς μοναχὲ ὧδε στένωσις καὶ πόλεμος.—β΄ (φ. ρξα΄ α). "Λόγος ἀσκητικός." Ἀρχ. Δεῦτε ἀγαπητοὶ δεῦτε πατέρες καὶ ἀδελφοί μου τὸ ἐκλεκτὸν ποίμνιον τοῦ Θεοῦ.—γ΄ (φ. ροϛ΄ β). "Λόγος εἰς τὴν δευτέραν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." Ἀρχ. Προσέλθετε καὶ δεῦτε υἱοὶ φωτὸς ἀκούσατε.—δ΄ (φ. ρπβ΄ β). "Λόγος πρὸς διόρθωσιν τῶν ἐμπαθῶν λογισμῶν καὶ τῶν τιμὰς ἀπαιτούντων." Ἀρχ. Ἀγωνιῶ ἀδελφοί μου καὶ φρίττω καὶ τῇ λύπῃ καταβιβρώσκομαι.—ε΄ (φ. ρϟα΄ β). "Εἰς τὴν δευτέραν παρουσίαν"...Ἔστι δ᾽ ὁ αὐτὸς λόγος καὶ ἀνωτέρω ὑπ᾽ ἀρ. γ΄.

7 (φ. ρϟζ΄ α). **Ἀναστασίου τοῦ Σιναΐτου** "Ὁμιλία ῥηθεῖσα εἰς τὸν ϛ΄ ψαλμὸν καὶ εἰς τὴν παρείσδησιν τῶν ἁγίων νηστειῶν."

Ἀρχ. Πρέπουσαν τῇ τῶν νηστειῶν ἀρχῇ.

8 (φ. σι΄ β). "Διήγησις **Ἀμμωνίου μοναχοῦ τοῦ Ἀλεξανδρέως** Περὶ τῶν ἀναιρεθέντων ὑπὸ τῶν βαρβάρων ἁγίων πατέρων ἐν Σινᾷ καὶ Ῥαϊθοῦ."

Ἀρχ. Ἐγένετό μοι ποτὲ καθεζομένῳ ἐν τῷ ταπεινῷ μου κελλίῳ πλησίον Ἀλεξανδρείας, εἰς τόπον καλούμενον Κανωβόν.

9 (φ. σκθ΄ α). "**Τοῦ ἁγίου Ἐφραὶμ**" Ἀπόσπασμα.

Ἀρχ. Ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ εἴρηκεν τὸν ἐν ὀλίγῳ ἄπιστον καὶ ἐν πολλῷ ἄπιστον εἶναι.

10 (σ. σλα΄ α). Διήγησις ἀνεπίγραφος.

Ἀρχ. Ἔλεγεν ἡ μακαρία Συγκλητικὴ ὅτι πολλαὶ αἱ τοῦ διαβόλου παγίδες.

11 (σ. σλβ΄ β). **Ἰωάννου τοῦ Χρυσοστόμου** "Εἰς τὸν μάταιον βίον καὶ εἰς τὴν δευτέραν παρουσίαν."

Ἀρχ. Ἀγαπητοὶ ὅσα τὰ τοῦ βίου μάταια.

12 (φ. σλθ΄ α). **Θεοδώρου τοῦ Στουδίτου**

α΄ (φ. σλθ΄ α). "Λόγος περὶ πνευματικῆς πανηγύρεως καὶ ἐντεύξεως τῆς βασιλείας τῶν οὐρανῶν." Ἀρχ. Ἀδελφοὶ καὶ πατέρες πανηγύρεις ἐπιτελοῦνται.—β΄ (φ. σμ΄ β). "Περὶ μνήμης θανάτου." Ἀρχ. Ἀδελφοὶ καὶ πατέρες χθὲς ἐπειδὴ ἐλήλυθε βεβασιλευκός.

13 (φ. σμγ΄). **Ἰωάννου τοῦ Χρυσοστόμου**

"Περὶ προσευχῆς καὶ κατανύξεως καὶ περὶ μνήμης θανάτου."

Ἀρχ. Ἀναγινώσκετε τὰς τοῦ Σωτῆρος διδασκαλίας.

14 (φ. σνϛ΄ α). "Ἀκολουθία εἰς τοὺς νεοφανεῖς ἀστέρας καὶ θεολόγους καὶ διδασκάλους τῆς ἐκκλησίας Μελέτιον πατριάρχην Ἀλεξανδρείας τὸν ἀπὸ Κρίτης καὶ Γαβριὴλ Φιλαδελφείας τὸν ἀπὸ Μονεμβασίας καὶ Μάξιμον Κιθήρων τὸν Μαργούνιον τὸν καὶ αὐτὸν ἀπὸ Κρίτης τοὺς ἐν ἑνὶ καιρῷ ἐπὶ στηριγμῷ τῶν τῆς ἐκκλησίας δογμάτων καὶ πατρικῶν παραδόσεων διαλάμψαντας, πονηθεῖσα **Ματθαίῳ** τῷ ταπεινῷ **μητροπολίτῃ Μυρέων** εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια εἰς ἦχον πλαγίου τετάρτου."

15 (φ. σοβ΄ α). "Τῷ **τιμιωτάτῳ** καὶ εὐγενεστάτῳ ἐν ἄρχουσι κυρίῳ κυρίῳ Σκαρλάτῳ τῷ γραμματικῷ **Ματθαῖος ὁ Μυρέων** ἐν Κυρίῳ χαίρειν."

Ἀρχ. Μὴ θαυμάσῃς μοι (ὦ τέκνων φίλτατε τῶν ἐμῶν) τῷ τῇ εὐγενείᾳ σου βιβλιάριον ἐπιστέλλοντι. Δρῶ γὰρ οὕτω δυοῖν ἕνεκα.

3769. 235. Χαρτ. 8. XVII.

1. "Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Χαραλάμπους."

2. "Περὶ τοῦ μαγιστριανοῦ *ὅπως ἐρρύσθη τοῦ κινδύνου διὰ τῆς ἐλεημοσύνης.*"

Ἀρχ. Μαγιστριανός τις ὀνόματι Ζήνων ἐπιστρέφων ἀπὸ Παλαιστίνης ἐπὶ Κωνσταντίνου πόλιν.

3. Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος.

4. **Ἰωάννου τοῦ Χρυσοστόμου** Περὶ μετανοίας καὶ ἐλεημοσύνης.

5. "Τοῦ ταπεινοῦ ἱερομονάχου καὶ διδασκάλου **Ἀλβέρτου Μαρίνου του Χίου** *Λόγος εἰς τὴν ἁγίαν καὶ θεόσωμον σταύρωσιν τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἤγουν τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ ἑπέρας.*"

Ἀρχ. Σήμερον κρεμᾶται ἐπὶ ξύλου...Ἡ ἁγία ἐκκλησία, ἀδελφοὶ ἀγαπητοὶ ἐν τω αἵματι τοῦ Χριστοῦ ἀναφέρει προς ἡμᾶς παθήματα τοῦ Χριστοῦ, τὰ ὁποῖα ἔλαβεν ἀπάνω του.

6. Διηγήσεις.

α'. "Περὶ τοῦ σφάξαντος τὸ παιδίον αὐτοῦ δια τον φίλον." —β'. "Περὶ τοῦ νυκταρίου."—γ'. "Περὶ τῆς παρθένου τῆς πεσούσης εἰς πορνείαν."—δ'. "Περὶ τοῦ ἔχοντος τὸν Χριστὸν κουράτορα."—ε'. "Περὶ τοῦ δόντος πλουσίου τὰς λ' λίτρας χρυσίου· εἶτα μεταμεληθέντος."—ϛ'. "Περὶ Ἰουλίου τοῦ ἐλεήμονος ὅπως πέπρακε τὸν ἑαυτοῦ υἱὸν καὶ ὡς ερρύσθη τοῦ θανάτου οὗτος διὰ τὴν ὑπακοὴν αὐτοῦ."—ζ'. Ἕτεραι διηγήσεις γερόντων.

7. Βίος καὶ μαρτύριον Φεβρωνίας.

8. "Ἱστορία ὠφέλιμος."

Ἀρχ. Παρεβάλομεν ἐγὼ καὶ ὁ σοφιστὴς Σωφρόνιος εν αλεξανδρίᾳ τῷ ἀββᾷ Παύλῳ ἔχοντι μοναστήριον εἰς τὸ Λιθαζόμενον.

9. "Ἐκ τοῦ βίου τοῦ ἁγίου Συμεὼν τοῦ Στυλίτου *περί τινος λιστοῦ μετὰνοήσαντος.*"

10. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου.

11. Βίος καὶ πολιτεία τῆς ἁγίας Εὐγενίας καὶ τῶν αὐτῆς γονέων.

Ὁ κῶδιξ περιβάλλεται ὑπὸ φύλλου (Περγ. XII. σελ. 2) ὕλης ἐκκλησιαστικῆς.

Τὰ ὑπ' ἀρ. 1, 2 καὶ 4 ἐν τῇ καθωμιλημένῃ.

3770. 236. Χαρτ. 8. XVIII.

1. "**Νεοφύτου Ῥοδινοῦ** Ἐξήγησις *εἰς την ωδὴν τῆς Θεοτόκου, τουτέστιν εἰς τὸ Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον μοιρασμένη εἰς δώδεκα ὁμιλίαις πολλὰ ὠφέλιμαις διὰ διδακτάδες καὶ κάθε φιλοπάρθενον Χριστιανῶν.*"

2. "**Τοῦ αὐτοῦ** Ὁμιλία εἰς τὴν κοίμησιν τῆς Παναγίας" (κολοβ.).

Προτάσσονται τοῦ ὑπ' ἀρ. 1 α'. "*Τῷ ἐξοχωτάτῳ καὶ αἰδεσιμωτάτῳ καρδινάλει κυρίῳ Φραγγίσκο Βωνκομπαγνίῳ Νεαπόλεως ἀρχιεπισκόπῳ δεσπότῃ μου σεβασμιωτάτῳ*" Ἐπιστολὴ τοῦ **Ῥοδινοῦ**.—β'. "**Παντελεήμονος Λιγαρείδου** *τοῦ Χίου Εἰς τὴν βίβλον Νεοφύτου τοῦ Ῥοδινοῦ*" Ἐπίγραμμα.—γ'. "**Ῥαφαὴλ ἱερομονάχου Φραγκίσκου τοῦ Κροβάτου** *Εἰς τὴν βίβλον Νεοφύτου τοῦ Ῥοδινοῦ*" Ἐπίγραμμα.—δ'. "*Τοις αναγινώσκουσιν ἐτοῦτο τὸ βιβλίον ἐκκλησιαστικοῖς ἀντάμα καὶ λαϊκοῖς ἀδελφοῖς ἐν Χριστῷ περιποθήτοις* **Νεόφυτος ὁ Ῥοδινὸς** *Κύπριος ὁ Σιναΐτης σωτηρίαν παρὰ Θεοῦ.*"

Ἐξεδόθησαν τύποις μετὰ καὶ Μαρτυρίου τοῦ ἁγίου μάρτυρος Νεοφύτου ἐν Ῥώμῃ τῷ 1637. Ἴδ. ΣΑΘΑ Νεοελληνικὴ Φιλολογία σ. 267. Εἰσὶ δὲ γεγραμμένα πάντα ἐν τῇ καθωμιλημένῃ πλὴν τῆς εἰς Φραγκῖσκον τὸν Βωνκομπάγνιον ἐπιστολῆς.

3771. 237. Χαρτ. 8. XVII.

Μαξίμου τοῦ Πελοποννησίου Διδαχαὶ

εἰς τὰς Κυριακὰς ἀπὸ τῆς Κυριακῆς πρὸ τῆς ὑψώσεως μέχρι καὶ τῆς Κυριακῆς τῆς Χαναναίας.

3772. 238. Χαρτ. 8. XVIII.

Ἐρωτήσεις ιβ' μετὰ τῶν οἰκείων ἀποκρίσεων.

α'. "Ποῖος παρέδωκε τελεῖσθαι τὰ μυστήρια ἐν τῇ ἐκκλησίᾳ ὡς νῦν τελοῦνται."—β'. "Ποῖοι διέταξαν τοὺς μὲν ἀρχιερεῖς πάντα τὰ μυστήρια τελεῖν, τοὺς δὲ ἱερεῖς τινὰ μόνον;"—...ια'. "Ζητῶ μαθεῖν τίς πρωτεπενόησε τὸν βαθμὸν τῶν ἱερέων ἤτοι παπάδων."...—ιβ'. "Δείκνυται ἐν τοῖς πατράσι καὶ μάλιστα παρὰ τῷ Θεολόγῳ λέγοντι· τὸ πνεῦμα τὸ ἅγιον ἱερέας τελειοῖ..."

Προτάσσεται Πρόλογος. *Ἀρχ. Ἐπειδὴ παρά τινος τῶν ἀρίστων μοι φίλων ἠξίωμαι ἀποκρίσεις ἐκθέσθαι πρὸς τὰς προβληθείσας αὐτῷ πεύσεις, οὐκ ἀπεσεισάμην τὴν ἀξίωσιν οὐδὲ κατενάρκησα ὅλως πρὸς τὴν γραφήν. Τέλ. ὑμεῖς ὅμως οἱ ταῖς ἐμαῖς ταύταις ἀποκρίσεσιν ἐντευξόμενοι εἴ τι παρὰ χορδὴν εἴρηται (δέομαι ὑμῶν) καὶ συγγνωτέ μοι τῆς ὀλιγομαθείας κᾀκεῖνο ὡς μὴ καλῶς καὶ ὡς ἐχρῆν εἰρημένον φιλαδέλφως διορθώσατε.*

3773. 239. Χαρτ. 8. XVIII.

Πατερικὸν καὶ Γεροντικόν.

Περιέχονται Ἀποφθέγματα καὶ ἀπανθίσματα **γερόντων** καὶ **πατέρων**, ἐν οἷς καὶ "**Τοῦ Ἀββᾶ Μάρκου** *Περὶ νόμου πνευματικοῦ,*" "**Τοῦ αὐτοῦ** *Περὶ τῶν οιομένων ἐξ ἔργων δικαιοῦσθαι.*"

Περὶ τὸ τέλος τοῦ κώδικος χειρόγραφον σλαβικόν.

3774. 240. Χαρτ. 8. XVIII.

Ἰωάννου τοῦ Χρυσοστόμου Λόγοι.

α' (ἀκέφ.). Ἀρχ....κη' κεφάλαιον. Λίθον ἀκρογωνιαῖον τὸν Χριστὸν ὀνομάζει.—β'. "Λόγος πανηγυρικὸς εἰς τὸν θεῖον καὶ ζωηφόρον Σταυρόν...λόγος ε'." Ἀρχ. Λάμπει ἀπὸ τὴν σελασφόρον ἀνατολὴν ὁ λαμπρόμορφος ἐτοῦτος καὶ φαινόμενος ἥλιος.—γ'. "Ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης· ὁ ἐκκλησιαστὴς εἰς τὸ α^{ον} κεφάλαιον, λόγος ϛ'." Ἀρχ. Παράπονον θλιβερὸν καὶ πικραμένους ἀναστεναγμοὺς βλέπω.—δ'. "Λόγος **τοῦ αὐτοῦ** *εἰς τὰ πάντα, λόγος ζ'." Ἀρχ. Ὡς χόρτος μαρένεται καὶ ὡς ἄνθος ξηρένεται πᾶσα εὐμορφία.—ε'. "Τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ εἰς ἑκούσιον προδωσίαν κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· περιέχει δὲ καὶ πόσον εἶναι τὸ βάρος τῆς ἁμαρτίας καὶ πῶς πρέπει νὰ ἐξομολογεῖται τινὰς καὶ τότε νὰ μεταλαμβάνῃ τῶν ἀχράντων μυστηρίων, λόγος η'." Ἀρχ. Ἄγγελοι, ἄνθρωποι, δίκαιοι, ἁμαρτωλοί, δαίμονες καὶ ὅλα τὰ καταχθόνια πνεύματα, τί πταίσιμον ἔχει εἰς τὴν ψυχὴν ὁ παραπονεμένος Ἰησοῦς; —ϛ'. "Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τρίτῃ εἰς τὰς δέκα παρθένους λόγος ι'."—ζ'. "Λόγος διαφόρων ἁγίων ἁπλὸς καὶ ὠφέλιμος περὶ τοῦ ἀπέχεσθαι ἔργον τῆς ἁγίας Κυριακῆς, λόγος ια'."*

Ἀρχ. Καθ ἐκάστην ἡμέραν καὶ πᾶσαν νύκτα πολλὴν πόλεμον ἔχει ὁ διάβολος εἰς ἡμᾶς τοὺς Χριστιανούς.

Ἅπαντες οἱ λόγοι ἐν τῇ καθωμιλημένῃ.

3775. 241. Χαρτ. 8. XVII.

1. Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος "μεταφρασθὲν εἰς τὴν κοινὴν γλῶσσαν ὑπὸ **Ἰγνατίου ἱερομονάχου.**"

2. "Ἐκ τοῦ **Πατερικοῦ.**"

3. Μαρτύριον τοῦ ἁγίου Χαραλάμπους.

4. "Ἀπόδειξις ὅτι ἡ ἐλεημοσύνη καὶ αἱ λειτουργίαι λυτρώνουσι τὴν ψυχὴν ἀπὸ τὴν κόλασιν λόγος ὠφέλιμος."

5. "Διήγησις ὠφέλιμος εἰς πᾶσαν ἄνθρωπον."

Ἀρχ. Ἐν τοῖς χρόνοις ὁποῦ ἐμαρτύρησεν ὁ ἅγιος μεγαλομάρτυς Μερκούριος.

6. Μαρτύριον τοῦ ἁγίου Νικήτα.

7. "Περὶ τοῦ ποῖα ἁμαρτήματα συγχωροῦνται μετὰ τὸν θάνατον διὰ τῶν λειτουργιῶν καὶ εὐχῶν καὶ ἐλεημοσυνῶν ὁποῦ γίνονται διὰ τοὺς ἀποθαμένους **Διονυσίου τοῦ Ἀρεοπαγίτου.**"

8. [**Ἡσαΐου μοναχοῦ**] "Περὶ τῶν διδομένων λειτουργιῶν τῶν ἱερέων διὰ τὰ σαραντάρια καὶ ζώντων καὶ ἀποθαμένων ἀνθρώπων."

9. "Διήγησις περὶ τῆς Μαρίας ὁποῦ ἔσφαξε τὰ δύο της τέκνα καὶ ὕστερον μετενόησε καὶ πῶς ἐπνίγη."

Τὰ ὑπ' ἀρ. 1, 3—5, 7—9 ἐν τῇ καθωμιλημένῃ.

3776. 242. Χαρτ. 8. XVIII.

"Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Γρηγορίου ἐπισκόπου Ἀκραγαντίνων.**"

Λόγος ἐν τῇ καθωμιλημένῃ. Ἀρχ. Ἀπὸ ὅλα τὰ καλὰ δὲν εἶναι ὡσὰν τὴν ἀρετὴν ἄλλο καλλίτερον καὶ ὠφελιμώτερον.

3777. 243. Χαρτ. 8. XVII.

"Φυσιολογία νέα ἣν ἐποίησε **Δαμασκηνὸς ὁ Ναυπάκτου μητροπολίτης** ῥανισάμενος ἐκ τῶν παλαιῶν φιλοσόφων τὰ βιβλία· διηγεῖται δὲ περὶ τῶν τε χερσαίων καὶ θαλασσίων καὶ πτηνῶν ζώων."

Προτάσσεται Ἀφιέρωσις ἐπιγραφομένη· "Ὁ ἐν ἐπισκόποις ἐλάχιστος **Δαμασκηνὸς** τῷ εὐγενεστάτῳ καὶ ἐνδοξοτάτῳ ἐν ἄρχουσι κῦρ Μιχαὴλ τῷ Καντακουζηνῷ καὶ μεγάλῳ δομεστίκῳ εὖ πράττειν."

Ἴδ. καὶ 794 (92), 1, 4259 (139), 2.

3778. 244. Χαρτ. 8. XVII.

1. Μαρτύριον Μαρίας τῆς Ῥωμαίας ἐν τῇ καθωμιλημένῃ.

2. "Ἐκ τοῦ φυσιολόγικοῦ **Ἐπιφανίου ἀρχιεπισκόπου Κύπρου.**"

Τὴν στάχωσιν τοῦ κώδικος ἀποτελεῖ φύλλον (Περγ. 4. XII. σελ. 2) ὕλης ἐκκλησιαστικῆς.

3779. 245. Χαρτ. 8. XVIII.

1. "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Αὐγουστίνου Ἱππῶνος** Προσευχαὶ πάνυ θεολογικαὶ καὶ κατανυκτικαὶ ὡς ἐν σχήματι διαλέξεως πρὸς τὸν Θεὸν εἰς ὠφέλειαν καὶ σωτηρίαν τῶν διὰ προσευχῆς φιλούντων ἀεὶ τῷ Θεῷ συνεῖναι."

2. "Εὐχαὶ ἕτεραι ἑτέρων ἁγίων πάνυ ὡραῖαι καὶ κατανυκτικαί."

3. "Οἶκοι κδ' κατ' ἀλφάβητον εἰς Ἰωάννην τὸν βαπτιστήν· ποίημα **Ραματᾶ.**"

3780. 246. Χαρτ. 8. XVI.

"**Γεωργίου Σχολαρίου** τὸ Σύνταγμα τοῦ ὕστερον γενομένου Γενναδίου μοναχοῦ."

"Τμῆμα πρῶτον Περὶ τῶν αἰτίων τοῦ σχίσματος κατ' ἐπιδρομὴν καὶ ὅτι τὰ κατὰ τὴν τρίτην σύνοδον σαφὴς ἀπόδειξις ἐστὶ τοὺς Λατίνους κακῶς φρονεῖν."—"Τμῆμα δεύτερον Περὶ τοῦ μακαρίου Αὐγουστίνου καὶ καθόλου περὶ τοῦ πῶς δεῖ χρῆσθαι ἑκάστῳ τῶν διδασκάλων ὑμᾶς κατὰ ἀντιπαράστασιν, ἐν ᾧ καὶ περὶ τῶν κτιστῶν εἰκόνων καθολικὴ θεωρία."—"Τμῆμα τρίτον, ἐν ᾧ προκατάστασις τῶν πρὸς τὴν ἔνστασιν λόγων καὶ ἔκθεσις τῶν ῥητῶν τῶν διδασκάλων τῶν παρ' ἡμῖν ἃ τὴν ἡμετέραν βεβαιοῦσι δόξαν, τὴν δὲ τῶν Λατίνων ἐλέγχουσιν."—"Τμῆμα δ^ον', ἐν ᾧ λύσεις τῶν ἐνστάσεων, ἃς ἐπάγουσιν οἱ Λατῖνοι ἔκ τινων ὑποδειγμάτων τε καὶ ῥητῶν πρὸς βεβαίωσιν τῆς ὑπ' αὐτῶν τιθεμένης τάξεως καὶ τοῦ τὸν υἱὸν αἴτιον τοῦ πνεύματος εἶναι."—"Τμῆμα ε^ον', ἐν ᾧ δείκνυται καὶ ῥητοῖς ἁγίων καὶ λόγοις μὴ εἶναι τὸν υἱὸν τοῦ πνεύματος αἴτιον καὶ ὡς ἐπαναλήψει τῶν προειρημένων σαφηνεία τοῦ δι' υἱοῦ τί ποτε βούλεται, ῥήσεις τῶν διδασκάλων, ἀποφάσκουσαι τοῦ υἱοῦ τὴν αἰτίαν τοῦ πνεύματος."—"Λόγος ϛ^ος', ἐν ᾧ δείκνυται, ὅπως δεῖ συμβιβάζειν τοὺς παρ' ἑκατέροις διδασκάλους καὶ ὅτι πρὸς τὸν τύπον τῶν παρ' ἡμῖν διδασκάλων τὰ τῶν ἀπ' Εὐρώπης διδασκάλων ἕλκεσθαι δεῖ καὶ ὅπως ὁ τύπος οὗτος σαφέστερός τε καὶ κυριώτερος καὶ ταῖς ἀρχαῖς τῆς πίστεως συμφωνότερος καὶ ὅτι ἄλλως συμβιβαζόμενοι δείκνυνται μᾶλλον ἀντιφάσκοντες, καὶ ἐπίλογος τῆς ὅλης πραγματείας."

Ἐν τέλει· Εἴληφε τέλος ἡ παροῦσα βίβλος ἐν ἔτει ,ζρε' ἐν δὲ τῷ νέῳ αφϛζ' μηνὶ Σεπτεβρίῳ κϛ' ἡμέρᾳ β^α (=1597) ἐγράφη διὰ χειρὸς ἐμοῦ Ἰσιδώρου ἁμαρτωλοῦ ἐν Χίῳ.

3781. 247. Χαρτ. 8. XVII.

1. "Ἐκ ποίων αἰτιῶν αἱ νηστεῖαι λύονται."

Ἐν ἔτει ,ζριη^ῳ Ἰουλίῳ ιθ' (=1610).

2. **Θεοδώρου τοῦ Στουδίτου** Κατηχήσεις.

Ἐν ταύταις καὶ "**Λέοντος ἀρχιεπισκόπου Νεαπόλεως** Λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς...Θεοτόκου..."

3. "Διδασκαλία πρὸς ἀρχαρίους μοναχοὺς γεγονεῖα παρὰ **Δανιὴλ ἱερομονάχου** συγγενοῦς τοῦ ἐν διδασκάλοις ποτὲ κυροῦ Χριστοφόρου τοῦ πάνυ."

Ἀρχ. Προοίμιον· Ὅτι δὲ δεῖ καὶ διδαχὴν Θεοῦ ἐξηγητὴν ἀκούειν τὸν βουλόμενον, κἂν μὴ ἄξιος εἴη ὁ ταύτην λέγων φησὶν ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ. Τέλ. ὅσοι δὲ πάλιν τοῦτο ἀηδιάζονται μὴ ἀνακόπτειν ἐπιχειρείτωσαν τοὺς αἱρουμένους, ἵνα μὴ ὡς φίλαυτοι καὶ κενόδοξοι ἢ κοιλιόδουλοι καὶ ἐμπαθεῖς ὑπὸ τῶν εὖ φρονούντων καταγνωσθῶσιν.

4. [**Τοῦ αὐτοῦ**] "Περὶ γαστριμαργίας καὶ ὅτι βλάπτει μεγάλως τὸν θέλοντα σωθῆναι καὶ περὶ ἄλλων πταισμάτων."

Ἀρχ. Ἡ γαστριμαργία καὶ ἡ μετὰ οἴνου ἢ καὶ

ὕδατος πολυποσία φέρει πολλὴν ἀμέλειαν καὶ ἀχαμνωσύνην τῷ σώματι.

Προτάσσονται **Ἱερεμίου** "Τοῖς ἐντυγχάνουσι," Ἐπιγράμματα τρία.

5. **Ἀδήλου** Λόγος ἀνεπίγραφος καὶ ἀκέφαλος.

Ἀρχ....ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτοῦ δῶμεν συγγνώμην ἀλλήλοις δι' ἀλλήλων πειραζόμενοι. Τέλ. *τὸν ἀρχηγὸν τῆς ζωῆς καταλάβωμεν, τῆς πηγῆς τῆς ζωῆς ἀπολαύσωμεν, σὺν ἀγγέλοις χορεύσωμεν, σὺν ἀρχαγγέλοις ὑμνήσωμεν τὸν κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστόν, αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.*

6. **Βασιλείου τοῦ μεγάλου** "Περὶ τῶν τεσσάρων θείων τεσσαρακοστῶν τοῦ ὅλου ἐνιαυτοῦ."

7. "Ἐκ τῶν διδασκαλιῶν τοῦ ἁγίου **Ἀμμωνᾶ** *καὶ ἑτέρων διαφόρων* **ἁγίων πατέρων.**"

Ἀρχ. *Τέσσαρα πράγματα εἰσὶ καὶ ἐὰν ἓν ἐξ αὐτῶν ἔχῃ ὁ ἄνθρωπος οὔτε μετανοῆσαι δύναται.* Τέλ. (κολ.) *Χριστὸν γὰρ μιμεῖται καὶ αὐτῷ συγκαθέζεται· μακάριος ὁ πολλοὺς εὖ ποιῶν....*

8. Ἀποφθέγματα καὶ ἀπανθίσματα **Παύλου τοῦ ἀποστόλου** (*ἐκ τῶν Ἐπιστολῶν πρὸς Ἐφεσίους, πρὸς Γαλάτας, πρὸς Κορινθίους*), *ἐκ τοῦ Δευτερονομίου κτλ.*

Τὰ ὑπ' ἀρ. 2 (*πλὴν τοῦ λόγου* **Λέοντος Νεαπόλεως**) *καὶ* 4 *ἐν τῇ καθωμιλημένῃ.*

3782. 248. *Χαρτ.* 8. XVII.

1. **Ἀναστασίου τοῦ Σιναΐτου** Εἰς τὴν παρείσβασιν τῶν νηστειῶν καὶ εἰς τὸν ἕκτον ψαλμόν.

2. "Τοῦ σοφωτάτου κυροῦ **Μαξίμου ἱερομονάχου** *ἀκροατοῦ γενομένου κυροῦ Μελετίου πατριάρχου Ἀλεξανδρείας Λόγος εἰς τὸ εὐαγγέλιον τῆς Θεοτόκου.*"

Ἀρχ. Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινα γυνὴ δέ τις ὀνόματι Μάρθα...ὅποιος ἤθελεν εὕρῃ τὸν τρόπον τῆς σωτηρίας του τὶ νὰ κάμῃ νὰ σώσῃ τὴν ψυχήν του.

3. "**Ἀνδρέου** [**Κρήτης**] Ἐγκώμιον *εἰς τὸ γενέθλιον τῆς Θεοτόκου μεταφρασθὲν εἰς τὴν κοινὴν γλῶσσαν ὑπὸ* **Μαξίμου ἱερομονάχου.**"

4. **Μαξίμου τοῦ Πελοποννησίου** Λόγοι ὀκτώ.

5. "**Συμεὼν τοῦ νέου Θεολόγου** τοῦ ἐν ἁγίοις ἀληθῶς" Λόγος (κολοβ.).

Ἀρχ. Οἱ περισσότεροι ἀπὸ τοὺς Χριστιανοὺς τόσον ἐκεῖνοι ὁποῦ βαστοῦν τὸ σχῆμα τὸ μοναχικόν, τόσον οἱ εὐσεβεῖς ὁποῦ εὑρίσκονται εἰς τὸν κόσμον.

6. "Λόγος τῶν ἁγίων **πατέρων** πάνυ ὠφέλιμος."

7. Διηγήσεις ἐκ τοῦ **Γεροντικοῦ.**

8. **Ἱερεμίου Β' πατριάρχου Κωνσταντινουπόλεως καὶ Σιλβέστρου πατριάρχου Ἀλεξανδρείας**

Σιγίλλιον περὶ μεταβάσεως τοῦ Σιλβέστρου εἰς Ἅγιον Ὄρος ὡς ἐξάρχου πρὸς διευθέτησιν τῶν κακῶς ἐχόντων.

Ἀρχ. Ἐπειδὴ τῆς ἡμῶν μετριότητος τὴν πρὸς δύσιν καὶ Πελοπόννησον πέρισυ κατερχομένης ὁδὸν καὶ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Θεσσαλονίκης διατριβούσης καὶ τὰς ἑορτὰς τῶν Χριστουγέννων ἑορταζούσης ἔφθασε θεόθεν εἰπεῖν καὶ ἡνώθη ἡμῖν ὁ ἁγιώτατος πάπας καὶ πατριάρχης Ἀλεξανδρείας κὺρ Σίλβεστρος. Τέλ. *Ἐπὶ τούτοις γὰρ ἅπασιν ἐγένετο καὶ τὸ παρὸν ἐπικυρωτικὸν σιγιλλιῶδες ἡμέτερον συνοδικὸν γράμμα καὶ τοῖς ἐν τῷ ἁγιωνύμῳ ὄρει πέμπεται εἰς δήλωσιν καὶ ἐκπλήρωσιν καὶ ἀσφάλειαν, κατὰ τὸ ,ζπγ' ἔτος ἐν μηνὶ Σεπτεμβρίῳ ἰνδος γ'.* **Ἱερεμίας** *ἐλέῳ Θεοῦ* **ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως** *Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.* **Σίλβεστρος** *ἐλέῳ Θεοῦ πάπας καὶ* **πατριάρχης** *τῆς μεγάλης πόλεως* **Ἀλεξανδρείας** *καὶ κριτὴς τῆς οἰκουμένης. Καὶ ἕτεροι δώδεκα ἀρχιερεῖς.*

9. "Ὁμιλία τῇ α' Παρασκευῇ τῆς ἁγίας καὶ μεγάλης μ'." (κολοβή.)

Ἀρχ. Ἐὰν εἰς ταῖς λεγομέναις γούβαις καὶ τὰ μέταλα τὰ πολύτιμα τοῦ ἀργύρου ἢ τοῦ χρυσοῦ.

10. Ἀποφθέγματα **πατέρων.**

11. Ἀποσπάσματα εὐαγγελίων μετὰ τῆς ἑρμηνείας **Ἰωάννου τοῦ Χρυσοστόμου.**

Τὰ ὑπ' ἀρ. 2—5 καὶ 9 ἐν τῇ καθωμιλημένῃ.

Ὁ κῶδιξ γέγραπται ὑπὸ δύο χειρῶν.

3783. 249. *Χαρτ.* 8. XVII.

1. "Τοῦ σοφωτάτου καὶ λογιωτάτου **μητροπολίτου Θεσσαλονίκης** *τοῦ μακαρίου ἐκείνου κῦρ* **Νείλου τοῦ Καβάσιλα** *Προοίμιον ἐν οἷς μέλλει διαλέγεσθαι πρὸς Λατίνους περὶ τῆς τοῦ πάπα ἀρχῆς.*"

Ἀρχ. Ἡγούμεθα δεῖν πρὸς Λατίνους ποιουμένους τὸν λόγον.

2. "**Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης** [**τοῦ Παλαμᾶ**] Λόγος ἀποδεικτικὸς πρῶτος *ὅτι οὐχὶ καὶ ἐκ τοῦ υἱοῦ, ἀλλ' ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον.*"

3. **Τοῦ αὐτοῦ** "Λόγος δεύτερος περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος..."

4. "Εἰς τὰς ὑπὲρ Λατίνων παρὰ τοῦ Βέκκου *συλλεγείσας γραφικὰς χρήσεις ἐπιγραφαί, πρὸς ἃς αἱ καθεξῆς τοῦ μακαριωτάτου* **Θεσσαλονίκης** [**τοῦ Παλαμᾶ**] *ἀντεπιγραφαὶ δεικνῦσαι δυσσεβῶς ἐχούσας τὰς τοιαύτας ἐπιγραφὰς καὶ ἀντιθέτους οὔσας ταῖς συνειλλεγμέναις τῶν ἁγίων ῥήσεσιν.*"

5. Διήγησις γέροντος.

6. "Συναγωγὴ ἱστοριῶν ὧν ἐμνήσθη ὁ **Θεολόγος Γρηγόριος** ἐν τῷ εἰς τὰ Φῶτα λόγῳ."

7. "Συναγωγὴ ἱστοριῶν ὧν ἐμνήσθη ἐν τῷ πρώτῳ Στηλιτευτικῷ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν **Γρηγόριος ὁ Θεολόγος.**"

8. "Περὶ τῶν πέντε αἰσθήσεων τῆς ψυχῆς."

9. "Στίχοι τοῦ κῦρ **Κωνσταντίνου** καὶ βέστου τοῦ **Γρανάτου** εἰς τὴν βίβλον τὴν λεγομένην Διόπτραν."

Ἐν τῇ καθωμιλημένῃ.

10. "Περὶ γενέσεως ἀνθρώπου καὶ πόθεν τρίτα καὶ ἔννατα καὶ τεσσαρακοστά."

3784. 250. *Χαρτ.* 8. XVIII.

1. Ὁμιλίαι εἰς ῥητὰ τῆς Γραφῆς τέσσαρες.

Ἐν τῇ καθωμιλημένῃ.

2. "Ἀπολογία τοῦ σοφωτάτου κυρίου **Εὐγενίου**

[**τοῦ Βουλγάρεως**] *Περὶ τῆς ἐκ τῆς σχολῆς τοῦ Ἁγίου Ὄρους φυγῆς. Τῷ παναγιωτάτῳ καὶ πανσεβάστῳ μοι ἐν Χριστῷ δεσπότῃ καὶ πρῴην οἰκουμενικῷ πατριάρχῃ κυρίῳ κυρίῳ Κυρίλλῳ τὴν μετὰ τῆς ὀφειλομένης ὑποκρίσεως προσκύνησιν.*"

Εὕρηται ἐκδεδομένη τύποις ὑπὸ Γ. ΑΙΝΙΑΝΟΣ *ἐν Συλλογῇ ἀνεκδότων συγγραμμάτων* Εὐγενίου τοῦ Βουλγάρεως. *Ἐν Ἀθήναις*, 1838 *σ.* 54 *κ. ἑ. καὶ* ΑΝ. ΓΟΥΔΑ *ἐν* Παραλλήλοις Βίοις. Τόμ. Β' *σ.* 12 *κ. ἑ.*

3. Ὁμιλίαι εἰς ῥητὰ τῆς Γραφῆς δύο.

Ἐν τῇ καθωμιλημένῃ.

4. **Βασιλείου τοῦ μεγάλου** "Λόγος περὶ κρίματος Θεοῦ."

Μετὰ διαστίχου ἐξηγήσεως εἰς τὴν καθωμιλημένην.

5. **Νεοφύτου τοῦ Πελοποννησίου** Λόγος εἰς τροπάριον ἁγίας Παρασκευῆς.

Τὸ μὲν τροπάριον (ἀνεπίγραφον καὶ ἀκέφαλον) ἄρχ....τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον ἐργασαμένη φερώνυμε τὴν ὁμώνυμόν σου πίστιν εἰς κατοικίαν κεκλήρωσαι Παρασκευὴ ἀθλοφόρε. Ὁ δὲ λόγος ἄρχ. Πολὺς τοῖς πολλοῖς ὁ λόγος περὶ τοῦ προκειμένου τροπαρίου, οἳ τὰ σπουδῆς ἄξια ὡς σαφῆ δῆθεν παρατρέχοντες, τούτου καὶ μόνου ἐπιλαμβάνονται διαπορούμενοι περὶ αὐτοῦ πρὸς οὓς ἂν γνοῖεν παιδείας ὁπωσοῦν μετειληφότας. Τέλ. Εἰ δέ τις ἕτερ' ἄττα ἐγκυμονῶν ἀποτεκεῖν ἐπείγεται τὰς προεκτεθείσας ἡμῖν ἐνστάσεις ἀνασκευασάμενος πρότερον· εἶθ' οὕτως ἀποτικτέτω τὰ ἴδια. αψνῳ **Νεόφυτος** *ἱεροδιάκονος* **Πελοπονήσιος** *ὁ ἐξ Ἑβραίων.*

6. "Ἀνάπτυξις περὶ τῶν τοῦ **Συνεσίου** ἐπιστολῶν κατά τε λέξιν καὶ σύνταξιν."

7. "Περὶ τεχνολογίας." Κατ' ἐρώτησιν καὶ ἀπόκρισιν.

3785. 251. Χαρτ. 8. XVII.

1. **Πέτρου τοῦ Δαμασκηνοῦ** Λόγοι.

α'. "Εἰς τὸ Πρόσεχε σεαυτῷ." Ἄρχ. Πρόσεχε σεαυτῷ ἀκριβῶς θαρρῶν καὶ πιστεύων.—β'. "Περὶ διακρίσεως." Ἄρχ. Εἰς πᾶν πρᾶγμα φησὶ χρήζομεν τὴν διάκρισιν.—γ'. "Περὶ προσευχῆς." Ἄρχ. Ἐὰν εὔχῃ τῷ Θεῷ περὶ πολέμου, ἵνα λάβῃ αὐτὸν ἀπὸ σοῦ καὶ οὐκ εἰσακούῃ σου μὴ ἐκκακήσῃς.—δ'. "Περὶ ἐξόδου ψυχῆς." Ἄρχ. Εἰ ἀγνοεῖτε, ἀδελφοί μου, οἷον φόβον καὶ ἀγῶνα καὶ ἀνάγκην ἔχομεν ὑποστῆναι.

2. **Τοῦ αὐτοῦ**

"Ἀρχὴ σὺν Θεῷ τῆς ὑποθέσεως τῆς βίβλου...παρὰ μοναχοῦ τοῦ **Δαμασκηνοῦ Πέτρου**..."

Ἴδ. καὶ 136 (9), 1, 957 (92), 1, 1150 (116), 1.

Ἐν τέλει· Εἴληφε Πέτρου Δαμασκηνοῦ τὸ πέρας· γέγραπται τῇ χειρὶ Γαλακτίωνος ἱερομονάχου, ἐν ἔτει ᾳχμϛῳ μηνὶ Αὐγούστῳ ιθ' ἡμέρᾳ (=1646).

3786. 252. Χαρτ. 8. XVII. (φ. 128).

"Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Γρηγορίου ἀρχιεπισκόπου** *γενομένου πόλεως* **Τεφρῶν** *Διάλεξις μετὰ Ἰουδαίου Ἐρβὰν τ' οὔνομα.*"

Ἄρχ. Τελεσθείσης ἤδη τῆς προσθεσμίας τῶν τεσσαράκοντα ἡμερῶν παρεγένοντο οἱ Ἰουδαῖ τοῦ διαλεγχῆναι ὡς ἐκελεύσθησαν· καὶ τῆς δοκιμασίας ἐν τῷ Θρελύτῳ γεγονυίας· αὐλῇ δὲ τοῦτο μεγίστῃ. Τέλ. ὁ δὲ ἅγιος, λαβὼν τὸν Ἐρβὰν, καὶ τοὺς λοιποὺς αὐτοπροαιρέτως, καὶ βαπτισθέντων πάντων, ἐποίησαν δόξαν τῷ Θεῷ· καὶ ἔγινε μεγάλη ζημία τῷ διαβόλῳ· καὶ χαρὰς πλήρης ἐποίουν οἱ Χριστιανοί· μετὰ τοῦ ἀρχιεπισκόπου, καὶ τοῦ βασιλέως.

Ἐν ἀρχῇ τοῦ κώδικος ἐν φύλλῳ ἀγράφῳ· Ἰωσὴφ τοῦ Σκούλτου τοῦ Ἑλλανίκου 1633· *ἐν δὲ φ.* 128 *β· Ἰωάννου ἱερομονάχου ,ζρλβ'* (=1624). *Φαίνονται δὲ ἀμφότερα ὀνόματα κτητόρων τοῦ κώδικος.*

3787. 253. Χαρτ. 8. XVII.

1. "Λόγος κατ' ἐπιτομὴν διαλαμβάνων

περὶ τῆς πρώτης καὶ δευτέρας καὶ τρίτης εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου."

Ἐν τῇ καθωμιλημένῃ.

2. "Διήγησις καὶ ὀπτασία ὠφέλιμος

ὀρθοδόξου Δημητρίου τινὸς συγγραφεῖσα παρὰ **Μητροφάνους ἱερομονάχου καὶ ῥήτορος** *τεθεῖσα δὲ εἰς κοινὴν φράσιν παρὰ τοῦ* **πνευματικοῦ κῦρ Λαυρεντίου.**"

Ὁ Μητροφάνης εἶνε πιθανώτατα αὐτὸς ὁ ἡγούμενος τῆς μονῆς Διονυσίου, περὶ οὗ ἴδ. κατωτέρω ἀρ. 3788 (254).

3. Ἀσκητικὴ ἀκολουθία.

4. "**Θεοδούλου μοναχοῦ** Διήγησις περὶ τῶν ὕμνων πῶς θεόθεν δεδώρηνται..."

5. Στιχηρὰ εἰς τὰ Εἰσόδια.

6. "Ἐκλογὴ εἰς τὴν εἴσοδον τῆς Θεοτόκου."

Ἐκ τῶν τοῦ Ψαλτηρίου.

7. Λόγος εἰς τὴν σύλληψιν τῆς Ἐλισάβετ καὶ εἰς τὸν Ζαχαρίαν.

Ἄρχ. Οὐδὲν δεσποτικοῖς ἀνυπότακτον ὅροις.

8. **Θεοδώρου τοῦ Στουδίτου** Ἐγκώμιον εἰς τὴν ἀποτομὴν Ἰωάννου τοῦ Προδρόμου.

9. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία.

Δύο μόνα φύλλα.

Ἐν ἀρχῇ τοῦ κώδικος φύλλον (Περγ. XI. σελ. 2) ὕλης ἐκκλησιαστικῆς, συνεσταχωμένον τῷ ξύλῳ τοῦ περικαλύμματος.

3788. 254. Χαρτ. 8. XVII.

Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις ἐν τῇ καθωμιλημένῃ.

Ἕπεται "Κανὼν εἰς τὸν ἅγιον Θεόδωρον."

Ἐν τῷ παραφύλλῳ τῷ ἐν τῇ ἀρχῇ τοῦ κώδικος· Αἱ παροῦσαι Κατηχήσεις τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου μετεβλήθησαν εἰς ἁπλῆν φράσιν παρ' ἐμοῦ τοῦ ἐλαχίστου **ἐν ἱερομονάχοις Ἰγνατίου** *δι' ἐπιταγῆς τοῦ πανοσιωτάτου πατρὸς ἡμῶν καὶ καθηγουμένου τῆς καθ' ἡμᾶς μονῆς τοῦ κῦρ Διονυσίου Μητροφάνους ἐν ἔτει ,ζρκϛ' μηνὶ Μαρτίῳ* (=1618).

3789. 255. Χαρτ. 8. XVI.

1. **Θεοδώρου τοῦ Στουδίτου** Κατηχήσεις.

